Περὶ τοῦ φόρου ὃν ἔταξε ταῖς πόλεσιν ὁ Ἀριστείδης γράφει ὁ Θουκυδίδης βιβλ. Α', 96 «Καὶ Ἑλληνοταμίαι τότε πρῶτον Ἀθηναίοις κατέστη ἀρχή, οἳ ἐδέχοντο τὸν φόρον· οὕτω γὰρ ὠνομάσθη τῶν χρημάτων ἡ φορά. Ἦν δ' ὁ πρῶτος φόρος ταχθεὶς τετρακόσια τάλαντα καὶ ἑξήκοντα». Πρβ. βιβλ. Ε', 18 «τὰς δὲ πόλεις φερούσας τὸν φόρον τὸν ἐπ' Ἀριστείδου αὐτονόμους εἶναι» καὶ Πλούτ. Ἀριστ. ΚΔ', 2 «ὡς γὰρ οἱ παλαιοὶ τὸν ἐπὶ Κρόνου βίον, οὕτως οἱ σύμμαχοι τῶν Ἀθηναίων τὸν ἐπ' Ἀριστείδου φόρον εὐποτμίαν τινὰ τῆς Ἑλλάδος ὀνομάζοντες ὕμνουν — ὃν μὲν γὰρ Ἀριστείδης ἔταξεν ἦν εἰς ἑξήκοντα καὶ τετρακοσίων ταλάντων λόγον». Σημειωτέον δ' ὅτι ὁ Κόβητος ἐν *Μνημοσ.* 1862, σελ. 372 καὶ ἐν *Σημειώσ. εἰς Ὑπερ. Ἐπιτ.* σελ. 63-4 ἐκβαλὼν τὸ *ἀρχή* ὡς παρέγγραπτον ὃν ἀνέγνω «Ἑλληνοταμίαι τότε πρῶτον Ἀθηναίοις *κατέστησαν*, οἳ κτέ.». Ἀλλ' ὁ Μεινέκιος διαφωνεῖ τῷ Κοβήτῳ ἐν *Vind. Aristoph.* σελ. 218.

Ἐν τῷ λόγῳ τοῦ Ψευδανδοκίδου τῷ κατ' Ἀλκιβιάδου § 11 φέρεται «πρῶτον μὲν οὖν πείσας ὑμᾶς τὸν φόρον ταῖς πόλεσιν ἐξ ἀρχῆς τάξαι τὸν ὑπ' Ἀριστείδου πάντων δικαιότατα τεταγμένον, κτέ.». Εἶπε δὲ καὶ ὁ Αἰσχίνης περὶ Παραπρ. 23 «ὡς ὢν Ἀριστείδης ὁ τοὺς φόρους τάξας τοῖς Ἕλλησιν» καὶ κατὰ Κτησιφ. 258 «Ἀριστείδην δὲ τὸν τοὺς φόρους τάξαντα τοῖς Ἕλλησιν, κτέ.». Ἀλλ' ὑπελήφθη ὑπό τινων ξένης χειρὸς προσθήκη τὸ *ὁ τοὺς φόρους τάξας τοῖς Ἕλλησιν* (Ἴδε Κόβητον ἐν *Var. Lect.* σελ. 539 ἐκδ. β'). Ἐν τῷ Ἀριστείδῃ τοῦ Πλουτάρχου κεφ. ΚϚ', 2 κεῖται «Ἀριστείδην ἁλῶναι δωροδοκίας (Κράτερος ὁ Μακεδὼν εἴρηκε), Διοφάντου τοῦ Ἀμφιτροπῆθεν κατηγοροῦντος ὡς, ὅτε τοὺς φόρους *ἔπραττε*, παρὰ τῶν Ἰώνων χρήματα λαβόντος». Μετετύπωσε δὲ τὸ *ἔπραττε* εἰς τὸ *ἔταττε* ὁ Κόβητος ἐν *Var. Lect.* σελ. 385 καὶ ἐν *Mnemos.* 1873, σελ. 105-6.

Ἐκλήθησαν δ' οἱ φόροι καὶ *συντάξεις*, ὡς διδάσκει ὁ Ἁρποκρατίων λέγων σελ. 285. 10 «Ἔλεγον δὲ καὶ τοὺς φόρους συντάξεις, ἐπειδὴ χαλεπῶς ἔφερον οἱ Ἕλληνες τὸ τῶν φόρων ὄνομα, Καλλιστράτου οὕτω καλέσαντος, ὥς φησι Θεόπομπος ἐν Ι' Φιλιππικῶν. Ὑπερείδης Δηλιακῷ· σύνταξιν ἐν τῷ παρόντι οὐδενὶ διδόντες, ἡμεῖς δέ ποτε ἠξιώσαμεν λαβεῖν» (Ἴδε Κοραῆν εἰς *Ἰσοκράτ.* Τόμ. Β', σελ. 102-3. Πρβ. καὶ Σνειδῆρον εἰς *Ξενοφ. Ἀθην. Πολιτ.* Γ', 5)

Ὁ Πλούταρχος ἐν τῷ Ἀριστείδῃ κεφ. ΚΔ', 1 εἶπεν *ἀτελοῦν ἀποφοράν*, ὃ κακίζει ὁ Κόβητος ἐν *Var. Lect.* σελ. 387 λέγων «ἀτέλουν ἀποφορὰν vitiose dictum est. Servi dominis ἀποφορὰν recte dicuntur pendere, socii φόρους ἔφερον». Πρβ. Σχαιφῆρον εἰς *Γρηγ. Κορ.* σελ. 525. Πλείονα περὶ τοῦ πράγματος θὰ γράψωμεν ἀλλαχοῦ.

Τύποι ὅμοιοι τῷ *Τιμοσθένου* εὑρέθησαν ἐν ἐπιγραφαῖς γραφείσαις κατὰ τοὺς χρόνους τοῦ Ἀριστοτέλους (Πρβ. Γλωσσ. Παρατηρ. σελ. 242). Ἀλλὰ δύσκολον εἶνε νὰ πεισθῇ τις ὅτι προηνέχθη διὰ τοῦ ΟΥ ὑπὸ τοῦ Ἀριστοτέλους ἡ γενικὴ τοῦ *Τιμοσθένης*· ὅθεν γράφομεν *ΤιμοσθένουΣ* ἀντὶ τοῦ *Τιμοσθένου*. Τοὐναντίον δὲ μεταβάλλομεν τὸ ἐν σελ. 100, 15 *ΕὐκλείδουΣ* εἰς τὸ *Εὐκλείδου* (Ἴδε καὶ Γλωσσ. Παρατηρ. σελ. 231).

Ἐπιστάσεως ἄξιον ὑπάρχει τὸ «ὥστε τὸν αὐτὸν ἐχθρὸν *εἶναι* (αὐτοῖς δηλ.) καὶ φίλον», τουτέστιν: ὥστε τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον *ἔχειν*. Συνήθως λέγεται *τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον ΝΟΜΙΖΕΙΝ* ἢ *τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους ΝΟΜΙΖΕΙΝ*. Ἐγένετο δὲ χρῆσις καὶ τοῦ *ἡγεῖσθαι* ἀντὶ τοῦ *νομίζειν* (Ἴδε Κόβητον ἐν *Nov. Lect.* σελ. 519 καὶ Γραιτζέλιον ἐν *Dissert. Philol. Hal.* Τόμ. Ζ', σελ. 46-7 καὶ Βοιμέλιον εἰς *Δημοσθέν. Δημηγορ.* σελ. 841. Πρβ. καὶ *Act. Sem. Phil. Erl.* Τόμ. Δ', σελ. 233-4). Παρὰ τῷ Δημοσθένει φέρεται σελ. 200, 33 «νῦν δὲ τῶν μὲν συμμάχων τοὺς τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον ὑμῖν ὀμωμοκότας νομίζετε εὐνουστάτους κτέ.». Δοξάζει δ' ὁ Οὐόλφιος ὅτι ἐρρήθη ὑπὸ τοῦ Δημοσθένους «τοὺς τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον ὑμῖν *ἕξειν* ὀμωμοκότας». Ὁ Κόβητος γράφει ἐν τῇ Μνημοσύνῃ 1876, σελ. 37 «Periit verbum, unde pendebant accusativi τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον. Olim Wolfius coniecit post ὑμῖν excidisse ἕξειν. Alio meliore verbo erat utendum. Nondum me poenitet supplevisse τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον ὑμῖν ΝΟΜΙΕΙΝ ὀμωμοκότας» (Πρβ. καὶ Βοιμέλιον εἰς *Δημοσθ. Δημηγ.* σελ. 841). Ἐν τῇ Ῥωμαϊκῇ Ἀρχαιολογίᾳ Διονυσίου τοῦ Ἁλικαρνασσέως εὕρομεν σελ. 1049 «τοὺς αὐτοὺς ὀμωμοκότας *ἕξειν* ἐχθροὺς καὶ φίλους». Ἀπαντᾷ δὲ καὶ ἐν Κρητικαῖς ἐπιγραφαῖς «τὸν αὐτὸν φίλον καὶ ἐχθρὸν *ἑξῶ*» καὶ «τὸν αὐτὸν φίλον κἠχθρὸν *ἑξῆν* τοῖς Γορτυνίοις» (Ἴδε Γραιτζέλιον ἐν *Dissert. Phil. Hal.* Τόμ. Ζ', σελ. 45-6)

Περὶ τοῦ «τοὺς μύδρους *ΕΝ τῷ πελάγει* καθεῖσαν» θὰ εἴπωμεν τὰ δέοντα ἑτέρωθι. Ὁ Πλούταρχος λέγει ἐν τῷ Ἀριστείδῃ κεφ. ΚΕ', 1 «ὁ δ' Ἀριστείδης ὥρκισε μὲν τοὺς Ἕλληνας καὶ ὤμοσεν ὑπὲρ τῶν Ἀθηναίων, μύδρους ἐμβαλὼν ἐπὶ ταῖς ἀραῖς εἰς τὴν θάλασσαν» (Πρβ. Βαίριον εἰς *Ἡρόδ.* Τόμ. Α', σελ. 324 ἐκδ. β').

σελ. 67, 2 «συνεβούλευεν ἀντιλαμβάνεσθαι τῆς ἡγεμονίας καὶ καταβάντας ἐκ τῶν ἀγρῶν οἰκεῖν ἐν τῷ ἄστει».

Ἐπειδὴ συχνάκις ἀντιτίθενται ἀλλήλοις τὸ *ἄστυ* καὶ οἱ *ἀγροί*, λέγεται οὐ μόνον *καταβαίνω ἐκ τῶν ἀγρῶν* ἀλλὰ καὶ *εἰς ἄστυ καταβαίνω* καὶ *εἰς ἄστυ ἢ εἰς τὴν πόλιν κατέρχομαι*. Γίνεται δὲ χρῆσις καὶ τοῦ *ἐκ τῶν ἀγρῶν κατακομίζω* καὶ *ἐκ τῶν ἀγρῶν εἰς τὰ τείχη κατακομίζω*. Παρατιθέμεθα μαρτύρια ὧν ἐμνημονεύσαμεν φράσεων.

Ἰσοκράτ. Ἀρεοπαγ. 52 «μηδ' εἰς τὰς ἑορτὰς εἰς ἄστυ καταβαίνειν». Θεόφρ. Χαρ. Δ' «καὶ εἰς ἄστυ καταβαίνων ἐρωτῆσαι τὸν ἀπαντῶντα πόσου ἦσαν (Κόβ.: *εἰσὶν*) αἱ διφθέραι καὶ τὸ τάριχος — καὶ εἰπεῖν ὅτι βούλεται εὐθὺς καταβὰς ἀποκείρασθαι» (Πρβ. Κόβητον ἐν *Μνημοσ.* 1873, σελ. 5). Ἀλκίφρ. Ἐπιστ. Γ', λα', 1 «οὐπώποτε εἰς ἄστυ καταβὰς οὐδὲ εἰδὼς ὅ τι ποτέ ἐστιν ἡ λεγομένη πόλις, κτέ.». Πρβ. καὶ Διόδ. Σικελ. Β', μ', 5 «τῆς εἰς τὴν πόλιν καταβάσεως παντελῶς ἀφεστήκασι». Ἐν παρόδῳ παρατηροῦμεν ὅτι δὲν εἶνε ἀληθὲς τὸ γεγραμμένον ὑπὸ τοῦ Κοβήτου ἐν *Var. Lect.* σελ. 59 «εἰς ἄστυ: *Attice* ἄστυδε».

Διονύσ. Ἁλικ. Ῥωμ. Ἀρχ. σελ. 1148 «κατιοῦσιν εἰς τὴν πόλιν ἄδειαν ὑπάρξειν τῶν ἡμαρτημένων». Πολυδεύκ. Ζ', 68 «ὅπως αἰσχύνοιντο εἰς ἄστυ κατιέναι». Ἡσύχ. λ. *κατωνάκη* «ἵνα ὑπὸ εὐτελείας μὴ κατίωσιν εἰς τὸ ἄστυ οἱ πολῖται». Πλούτ. Ἠθικ. σελ. 291 ε' «ὁπότε κατέλθοιεν εἰς τὴν πόλιν».

Δημοσθέν. σελ. 379, 125 «παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν κατακομίζειν ἐψηφίζεσθε». Πρβ. καὶ σελ. 238, 38. Ἐν σελ. 368, 86 ἔχουσι τἀντίγραφα «παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν *κατεκομίζεσθε*» καὶ *κατεκομίζετε* καὶ *μετεκομίζετε* (Ἴδε Βοιμέλιον εἰς *Δημοσθ. κατ' Αἰσχίν.* σελ. 470-1).

Λυκοῦργ. κατὰ Λεωκρ. 16 «ἐψηφίσατο ὁ δῆμος παῖδας μὲν καὶ

γυναῖκας ἐκ τῶν ἀγρῶν εἰς τὰ τείχη κατακομίζειν». Πρβ. καὶ Διον. Ἁλικ. Ῥωμ. Ἀρχαιολ. σελ. 926 «οὓς ἐκ τῶν ἀγρῶν οἱ Ῥωμαῖοι κατακομίζοντες εἰς τὴν πόλιν κτέ.» καὶ Διόδ. Σικελ. ΙΒ', λθ', 5 «συνεβούλευεν οὖν τὰ ἀπὸ τῆς χώρας κατακομίζειν εἰς τὴν πόλιν» (Ἴδε καὶ Μαιτζνῆρον εἰς *Λυκ.* σελ. 105).

Ἀπαντᾷ δὲ καὶ ἐν τῇ Ὀδυσσείᾳ «πατὴρ δὲ σὸς αὐτόθι μίμνει ἀγρῷ οὐδὲ πόλινδε κατέρχεται» (Λ, 188) καὶ «τὸν μὲν ἐγὼ κατιόντα βάλον χαλκήρεϊ δουρὶ ἀγρόθεν» (Ν, 267) καὶ «ἑσπέριος δ' εἰς ἄστυ ἰδὼν ἐμὰ ἔργα κάτειμι» (Ο, 505) καὶ «ἐρέσθαι ἄστυ καταβλώσκοντα» (Π, 465) καὶ «ἐπὶ δέ σφισιν ἦλθε συβώτης τρεῖς σιάλους κατάγων» (Υ, 162). Ἴδε Κόβητον ἐν *Μνημοσ.* 1873, σελ. 5 καὶ 44-5. Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1888, 6 «Ἐν τούτοις δὲ κεῖται καὶ τὸ *κατάγειν* ἀντὶ τοῦ ἁπλῶς *ἄγειν*· συβώτης γὰρ τρεῖς σιάλους κατάγει, ὡς εἴρηται. Ἴσως δὲ καὶ ἄλλως ὡς ἀπὸ ὄρους κατάγει». Πλημμελῶς ἔχει ἡ γνώμη, καθ' ἣν εἶνε παρειλημμένον ὑπὸ τοῦ Ὁμήρου ἀντὶ τοῦ ἁπλοῦ *ἄγειν* τὸ σύνθετον *κατάγειν*. Παρέχει δὲ τοῦ ῥήματος τούτου ἡμῖν μαρτύριον καὶ ὁ Ἀλκίφρων λέγων Ἐπιστ. Γ', κ', 1 «*καταγαγόντα* οὖν, ἕως οὗ ταῦτα ἀπεδόμην τῶν τινι γνωρίμων, ἄγει μέ τις λαβὼν εἰς τὸ θέατρον». Ὁ Μεινέκιος ἐν τῇ ἐκδόσει τοῦ Ἀλκίφρονος σελ. 132 προηνέγκατο τὴν ῥῆσιν ταύτην ὧδε· «καταγαγόντα οὖν, ὡς ταῦτα ἀπεδόμην, *τῶν τις γνωρίμων* ἄγει με λαβὼν εἰς τὸ θέατρον».

Ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους βιβλ. Η', 116 φέρεται «ἐκαλεῖτο δὲ καὶ κατακλησία ὅτι καὶ *τοὺς ἐκ τῶν ἀγρῶν κατεκάλουν*». Πρβ. καὶ Ἡσύχ. λ. *κατακλησία*. Ὁ Ἀμμώνιος σελ. 47 γράφει τετρασυλλάβως *κατάκλησις-κατάκλησιν*. Παρατιθέμεθα τὰ ὑπὸ τοῦ Σχοιμαννοῦ εἰρημένα ἐν τῷ *De Comit. Athen.* σελ. 29 «Verbum autem κατακαλεῖν proprie est, ex agris in urbem evocare; veluti καταβαίνειν εἰς ἄστυ dicitur, qui rure in urbem profiscitur. Isocrat. Areopagit. p. 356».

σελ. 67, 7 «πεισθέντες δὲ ταῦτα καὶ λαβόντες τὴν ἀρχὴν τοῖς τε συμμάχοις δεσποτικωτέρως ἐχρῶντο πλὴν Χίων καὶ Λεσβίων καὶ Σαμίων».

Ἐπιρρήματα ἐκ συγκριτικῶν ἐπιθέτων παρηγμένα, οἷον τὸ *δεσποτικωτέρως*, πάμπολλα ἔχομεν ἔκ τε τοῦ παλαιοῦ καὶ τοῦ μεταγενεστέρου ἑλληνισμοῦ συνειλεγμένα. Μνημονεύομεν δὲ νῦν ἐκ τῶν συγγραμμάτων τοῦ Ἀριστοτέλους τάδε.

ἀπειροτέρως Τόμ. Γ', σελ. 537, 4 Διδ.

ἁπλουστέρως Τόμ. Β', σελ. 418, 17.

ἀσφαλεστέρως Τόμ. Β', σελ. 426, 39.

γλαφυρωτέρως Τόμ. Γ', σελ. 434, 54.

γνωριμωτέρως Τόμ. Β', σελ. 575, 49.

ἐνδεεστέρως Τόμ. Γ', σελ. 272, 17.

ἐπιδηλοτέρως Τόμ. Γ', σελ. 166, 14.

ἐπιπολαιοτέρως Τόμ. Β', σελ. 486, 16. Ὑπάρχει καὶ γραφὴ *ἐπιπολαιότερον*. Ἴδε Βονίτζιον εἰς *Ἀριστοτ. τὰ μετὰ τὰ Φυσ.* Τόμ. Α', σελ. 34.

ἐρυμνοτέρως Τόμ. Α', σελ. 614, 39.

καιροπρεπεστέρως Τόμ. Β', σελ. 480, 36.

καινοτέρως Τόμ. Β', σελ. 425, 5.

κοινοτέρως Τόμ. Α', σελ. 515, 42.

κομψοτέρως Τόμ. Β', σελ. 418, 18.

κυριωτέρως Τόμ. Β', σελ. 571, 12.

μακροτέρως Τόμ. Α', σελ. 396, 15.

μαλακωτέρως Τόμ. Α', σελ. 630, 21.

μετριωτέρως Τόμ. Γ', σελ. 143, 11.

ὀδυρτικωτέρως Τομ. Α', σελ. 630, 20.

οἰκειοτέρως Τόμ. Α', σελ. 10, 32.

προτέρως Τόμ. Β', σελ. 265, 5 καὶ σελ. 515, 49 (Πρβ. καὶ *δευτέρως* Τόμ. Β', σελ. 96, 41 καὶ σελ. 122, 42 καὶ σελ. 125, 21 καὶ σελ. 528, 32).

ῥᾳθυμοτέρως Τόμ. Α', σελ. 622, 6.

σαφεστέρως Τόμ. Β', σελ. 476, 41.

ὑγιεινοτέρως Τόμ. Γ', σελ. 486, 25.

(*ὑγροτέρως* Τόμ. Γ', σελ. 212, 31).

ὑστέρως Τόμ. Β', σελ. 265, 5 καὶ σελ. 515, 49.

φανερωτέρως Τόμ. Γ', σελ. 245, 3. Τὸ ἐπίρρημα τοῦτο ἀπαντᾷ καὶ ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις Ἱππ. 254 Βεκκ. «ἐν ἄλλοις

γοῦν *φανερωτέρως* φησί». Ἀλλ' ἐν τῇ Διδωτείῳ ἐκδόσει τῶν Σχολίων τούτων σελ. 41, 3 εἶνε γεγραμμένον *φανερώτερον*. Πρβ. καὶ Ἀποσπ. Κωμ. Μειν. σελ. 340, 658 ἐκδ. μικρ.

φιλοσοφωτέρως Τόμ. Γ', σελ. 476, 22.

χαριεστέρως Τόμ. Β', σελ. 609, 49.

Ἐν Τόμ. Α', σελ. 373, 42 φέρεται «ὥσπερ φασὶν οἱ ποιηταὶ τοὺς ἀπαιδεύτους παρ' ὄχλῳ *μουσικωτέρους* λέγειν». Γράφει δ' ὁ Σπέγγελος ἐν τῇ ἐκδόσει τῆς Ἀριστοτέλους Ῥητορικῆς Τόμ. Β', σελ. 283 «ex A aliisque cum Victorio dedimus adiectivum, non adverbium μουσικωτέρως, quod Bekkerus scripsit et vulgatae rationi dicendi magis convenit; Aristoteles ipsius poetae verba eorumque structuram reddere voluit».

Ἐν Τόμ. Γ', σελ. 200, 20 κεῖται «*ἀθυμότερον* δ' ἐργάζονται». Αὕτη δ' εἶνε ἡ γνησία γραφή. Ὁ Σνειδῆρος ἐξέδωκεν (*Ἀριστοτ. περὶ Ζῴ. Ἱστορ.* Τόμ. Α', σελ. 471) «*ἀθυμοτέρΩς* δ' ἐργάζονται».

Ἐν Τόμ. Β', σελ. 481, 9 ἀπαντᾷ «ταῖς μὲν ἀρχαῖς καὶ τοῖς στοιχείοις *ἐκτοπωτέροις* χρῶνται τῶν φυσιολόγων». Τἀντίγραφα ἔχουσιν *ἐκτοπωτέρΩΣ*, ὃ ἀνάρμοστον ὑπολαμβάνει ὁ Βονίτζιος ἐν τῇ ἐκδόσει τῶν Μετὰ τὰ Φυσικὰ τοῦ Ἀριστοτέλους Τόμ. Β', σελ. 104.

Ὁ Βαλλὴν σημειοῦται εἰς *Ἀριστοτ. Ποιητ.* σελ. 255 ἐκδ. γ' «φαίνηται εὐλογωτέρως (scil. ἔχειν) recepi ex codice, vulgabatur εὐλογώτερον, quod etsi probum erat, tamen ne illud quidem reiiciatur dicam ad 25». Ἡμεῖς ἀρεσκόμεθα μᾶλλον τῷ *εὐλογώτερον*.

σελ. 71, 9 «ὁ δ' Ἐφιάλτης ὡς εἶδεν καταπλαγεὶς καθίζει μονοχίτων ἐπὶ τὸν βωμόν. θαυμασάντων δὲ πάντων τὸ γεγον(ὸς) καὶ μετὰ ταῦτα συναθροισθείσης τῆς βουλῆς τῶν πεντακοσίων κατηγόρουν τῶν Ἀρεοπαγιτῶν ὅ τ' Ἐφιάλτης καὶ Θεμιστοκλῆς, καὶ πάλιν ἐν τῷ δήμῳ τὸν αὐτὸν τρόπον, ἕως περιείλοντο αὐτῶν τὴν δύναμιν. καὶ ἀνῃρέθη δὲ καὶ ὁ Ἐφιάλτης δολοφονηθεὶς μετ' οὐ πολὺν χρόνον δι' Ἀριστοδίκου (τ)οῦ Ταναγραίου. ἡ μὲν οὖν τῶν Ἀρεοπαγιτῶν βουλὴ τοῦτον τὸν τρόπον ἀπεστερήθη τῆς ἐπιμελείας».

Διὰ τοῦ *μονοχίτων* δηλοῦται ὁ φορῶν χιτῶνα μόνον, οὐχὶ δὲ καὶ ἱμάτιον, ὅστις καὶ *γυμνὸς* ὑπὸ τῶν Ἑλλήνων καλεῖται (Ἴδε Ἀθηνᾶν Τόμ. Α', σελ. 117-8).

Τὴν φράσιν *καθίζει ἐπὶ τὸν βωμὸν* θὰ ἐξετάσωμεν προσηκόντως ἐν τῷ Δευτέρῳ Μέρει.

Νομίζομεν δ' ὅτι πρὸ τοῦ ὀνόματος *Θεμιστοκλῆς* ἐξέπεσε τὸ ἄρθρον ὁ. Ὁ Ἀριστοτέλης ἔγραψε πιθανώτατα «ὅ τ' Ἐφιάλτης καὶ ὁ Θεμιστοκλῆς». Ἀποφαινόμεθα τὴν γνώμην ταύτην οὐδαμῶς ἀγνοοῦντες ὅτι κεῖται ἐν σελ. 53, 2 «οἱ μὲν περὶ *τὸν* Κλεομένην καὶ Ἰσαγόραν» καὶ παρὰ τῷ Ψευδοδημοσθένει σελ. 1355, 31 «ὅ τε Εὐκράτης καὶ Τιμανορίδας». Πρβ. καὶ Πολύβ. Β', κη', 7 «*οἱ* μὲν οὖν Ἴνσοβρες καὶ Βοῖοι». Ἀκριβῶς περὶ τοῦ πράγματος θὰ διαλάβωμεν ἄλλοθι.

Ὁ ἐκδότης σημειοῦται «περιείλοντο: MS. περείλοντο». Ἡ ἀληθὴς γραφὴ κατὰ τὴν ἡμετέραν γνώμην εἶνε *ΠΑΡείλοντο*· «ἕως *παρείλοντο* αὐτῶν τὴν δύναμιν». Πρβ. σελ. 42, 6 «*παρελόμενος* τοῦ δήμου τὰ ὅπλα» καὶ μετ' ὀλίγα «*παρεῖλεν* (γρ. *παρείλετο*) δὲ τοῦ δήμου τὰ ὅπλα τόνδε τὸν τρόπον» καὶ σελ. 75, 3 «τῶν Ἀρεοπαγιτῶν ἔνια *παρείλετο*» καὶ σελ. 96, 16 «ἔγνωσαν τῶν μὲν ἄλλων τὰ ὅπλα *παρελέσθαι*» καὶ σελ. 98, 5 «τά τε ὅπλα *παρείλοντο* πάντων πλὴν τῶν τρισχιλίων», ᾧ ὅμοιον τὸ παρὰ Ξενοφῶντι Ἑλλην. Β', γ', 20 «τὰ ὅπλα πάντων πλὴν τῶν τρισχιλίων *παρείλοντο*». Ἐν σελ. 69, 11 ἀπαντᾷ «ἅπαντα *περιεῖλε* τὰ ἐπίθετα».

Τοῦ ῥήματος *παραιρεῖσθαι-παρελέσθαι* ἐποιήσατο χρῆσιν ὁ Ἀριστοτέλης καὶ ἐν τῇ Ῥητορικῇ βιβλ. Γ', ι', 7: *παρῃρῆσθαι* καὶ ἐν τοῖς Πολιτικοῖς βιβλ. Γ', γ', 5: *παραιροῦνται* καὶ θ', 8: *παραιρουμένων* καὶ Ε', η', 10: *παρελέσθαι*.

Ἐν τοῖς ἐκ τῆς Ἀθηναίων Πολιτείας παρατεθεῖσι χωρίοις εἶνε τὸ *παρελέσθαι αἰτιατικῇ* καὶ *γενικῇ* συντεταγμένον· αὕτη δ' ὑπάρχει ἡ *συνήθης* παρὰ τοῖς Ἕλλησι σύνταξις τοῦ ῥήματος *παραιρεῖσθαι-παρελέσθαι*. Ὑπὸ τοῦ Πολυβίου ἐρρήθη καὶ *παραιρεῖσθαί ΤΙΝΙ τι* ἐν βιβλ. Α', ιη', 9 «παρείλετο τὰς ἀγορὰς καὶ τὴν τῶν ἀναγκαίων χορηγίαν *τοῖς* τῶν ὑπεναντίων *στρατοπέδοις*». Πρβ. καὶ βιβλ. ΙΕ', α', 1 «βαρέως μὲν ἔφερεν ἐπὶ τῷ μὴ μόνον *σφίσι* παρῃρῆσθαι τὴν χορηγίαν, ἀλλὰ καὶ κτέ.» (Ἴδε Θησ. Στεφ. Τόμ. Ϛ', σελ. 264). Κατὰ τὸν

αὐτὸν τρόπον λέγεται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ἐνίοτε *ἀφαιρῶ τινί τι* καὶ *ἀφαιροῦμαί τινί τι*, ὡς θὰ παραστήσωμεν ἀκριβῶς ἑτέρωθι.

Τὸ πρὸ τοῦ *ἀνῃρέθη* κείμενον *καί* νομίζομεν παρέγγραπτον, ὡς ἐδηλώσαμεν καὶ ἀλλαχοῦ τῶν ἡμετέρων τῶνδε παρατηρήσεων. Δὲν εἶνε δ' ἀπίθανον νὰ νομισθῇ ὑπό τινος ὅτι μετὰ τὸ *ἐπιμελείας* ἔκειτο τὸ *τῆς πολιτείας*· «ἡ μὲν οὖν τῶν Ἀρεοπαγιτῶν βουλὴ — ἀπεστερήθη τῆς *ἐπιμελΕΙΑΣ* (*τῆς πολιτΕΙΑΣ*)». Πρβ. σελ. 24, 8 «ἐπίσκοπος οὖσα τῆς πολιτείας» καὶ σελ. 69, 10 «ἔπειτα τῆς βουλῆς — ἅπαντα περιεῖλε τὰ ἐπίθετα, δι' ὧν ἦν ἡ τῆς πολιτείας φυλακή». Ἀλλ' ἐν σελ. 100, 10 φέρεται «λαβόντες *τὴν ἐπιμέλειαν* ἐν ὀλιγαρχίᾳ τὰς εὐθύνας ἔδοσαν τῇ δημοκρατίᾳ (γρ. *ἐν δημοκρατίᾳ*)».

σελ. 72, 11 «Μετὰ δὲ ταῦτα συνέβαινεν ἀνίεσθαι μᾶλλον τὴν πολιτείαν διὰ τοὺς προθύμως δημαγωγοῦντας. κατὰ γὰρ τοὺς καιροὺς τούτους συνέπεσε μηδ' ἡγεμόνα ἔχειν τοὺς ἐπιεικεστέρους, ἀλλ' αὐτῶν προεστάναι Κίμωνα τὸν Μιλτιάδου, νεώτερον ὄντα καὶ πρὸς τὴν πόλιν (γρ. πολιτείαν) ὀψὲ προσελθόντα».

Ἀντὶ τοῦ *νεώτερον*, ὅλως ἀναρμόστου ὄντος, γράφομεν *νωθρότερον*. Πρβ. Πλούτ. Κίμ. Δ', 3 «Κίμων δὲ μειράκιον παντάπασιν ἀπολειφθεὶς — τὸν πρῶτον ἠδόξει χρόνον καὶ κακῶς ἤκουεν ὡς ἄτακτος καὶ πολυπότης καὶ *τῷ πάππῳ Κίμωνι προσεοικὼς τὴν φύσιν, ὃν δι' εὐήθειάν φασι Κοάλεμον προσαγορευθῆναι*». Οὐχὶ ὀλιγάκις γίνεται χρῆσις τοῦ ἐπιθέτου *νωθρός* ἐν τῇ Ἑλληνικῇ γλώσσῃ, παλαιότερον δ' αὐτοῦ εἶνε τὸ *νωθής*, ἐξ οὗ τὸ *νώθεια*. Διόδωρος ὁ Σικελιώτης γράφει περὶ Ποπλίου Σκιπίωνος βιβλ. ΛΑ', κϛ, 6 «καίτοι γ' ἐν ἀρχαῖς πρὸ τοῦ φιλοσοφίας ἅψασθαι διάληψιν ἔσχε παρὰ τοῖς πολλοῖς ὡς νωθρὸς ὢν τὴν ψυχὴν καὶ τοῦ βάρους τῆς οἰκίας οὐκ ἀξιόχρεως διάδοχος καὶ προστάτης».

Ὁμοίως τῷ «*συνέβαινεν ἀνίεσθαι μᾶλλον* τὴν πολιτείαν» λέγεται «*συνέβαινεν* πολλῷ τραχυτέραν *εἶναι* τὴν τυραννίδα» (σελ. 49, 11) καὶ «αἰεὶ *συνέβαινεν* τῶν ἐξιόντων ἀνὰ δισχιλίους ἢ τρισχιλίους *ἀπόλλυσθαι*» (σελ. 73, 5) καὶ «*συνέβαινεν* — ἔξω τε *γίγνεσθαι* τῆς πολιτείας αὐτὸν κτέ.» (σελ. 98, 2). Ποιεῖται δὲ χρῆσιν ὁ Ἀριστοτέλης

καὶ τοῦ ἀορίστου *συνέβη*, ὡς καὶ τοῦ *συνέπεσε(ν)*. Πρβ. καὶ «*συνεβεβήκει* γὰρ αὐτοῖς *γεγονέναι* πένησιν» (σελ. 35, 6).

σελ. 74, 4 «καὶ τρίτῳ μετ' αὐτὸν ἐπὶ Ἀντιδότου διὰ τὸ πλῆθος τῶν πολιτῶν, Περικλέους εἰπόντος, ἔγνωσαν μὴ μετέχειν τῆς πόλεως ὃς ἂν μὴ ἐξ ἀμφοῖν ἀστοῖν ᾖ γεγονώς».

Περὶ τῆς κατὰ περίφρασιν ἐκφορᾶς τῆς ὑποτακτικῆς τοῦ ἐνεργητικοῦ παρακειμένου ἐγκλίσεως, *ᾖ γεγονώς*, θὰ διαλάβωμεν μετὰ πολλῆς ἀκριβείας ἐν ἑτέρῳ τόπῳ.

Ὡς δ' ἐν τῷ προκειμένῳ χωρίῳ ἐλέχθη *ἐξ ἀμφοῖν ἀστοῖν*, οὕτως *ἐξ ἀμφοῖν ξένοιν* ἐν ψηφίσματι, ὃ παρατίθεται ἐκ τοῦ Κρατέρου ὁ Ἁρποκρατίων σελ. 211. 11 «ἐὰν δέ τις *ἐξ ἀμφοῖν ξένοιν* γεγονὼς φρατρίζῃ, διώκειν εἶναι τῷ βουλομένῳ Ἀθηναίων». Περὶ τοῦ τύπου *φρατρίζω*, ὃν ἀποδοκιμάζει ὁ Κόβητος (ἐν *Μνημοσ.* 1873, σελ. 101-2) μόνον τὸν τετρασύλλαβον *φρατριάζω* ἐγκρίνων ὡς παλαιὸν καὶ δόκιμον, θὰ γράψωμεν ἀλλαχοῦ.

Ἐν τοῖς Πολιτικοῖς τοῦ Ἀριστοτέλους φέρεται *ἐξ ἀμφοῖν ἀστΩΝ* βιβλ. Γ', γ'. 5 «τέλος δὲ μόνον τοὺς *ἐξ ἀμφοῖν ἀστῶν* πολίτας ποιοῦσιν». Ἐγένετο δ' ὑπὸ τοῦ συγγραφέως τούτου χρῆσις καὶ τοῦ *ἐξ ἀμφοτέρων ἀστῶν* καὶ τοῦ *ἐξ ἀμφοτέρων πολιτῶν*, οἷον Ἀθην. Πολιτ. σελ. 107, 7 «μετέχουσιν μὲν τῆς πολιτείας οἱ *ἐξ ἀμφοτέρων* γεγονότες *ἀστῶν*» καὶ Πολιτικ. Γ', α', 9 «ὁρίζονται δὴ πρὸς τὴν χρῆσιν πολίτην τὸν *ἐξ ἀμφοτέρων πολιτῶν* καὶ μὴ θατέρου μόνον, οἷον πατρὸς ἢ μητρός». Πρβ. καὶ Ψευδαριστοτέλ. Οἰκον. Δ', σελ. 17 Γοιτλ. «ὃς ἂν μὴ *ἐξ ἀστῶν ἀμφοτέρων* ᾖ» καὶ Συλλ. Ἐπιγρ. Ἑλλ. Βοικκ. Τόμ. Β', σελ. 454 «ἱέρειαν ἀστὴν *ἐξ ἀστῶν ἀμφοτέρων* ἐπὶ τρεῖς γενεὰς γεγεννημένην καὶ πρὸς πατρὸς καὶ πρὸς μητρός». Σημειωτέον δ' ὅτι τἀντίγραφα ἔχουσιν ἔν τε τοῖς Πολιτικοῖς τοῦ Ἀριστοτέλους καὶ ἐν τοῖς Οἰκονομικοῖς τοῦ Ψευδαριστοτέλους *αὐτῶν*, ὅπερ μετετυπώθη εἰς τὸ *ἀστῶν* ὑπό τ' ἄλλων καὶ τοῦ Κοβήτου (ἐν *Var. Lect.* σελ. 283 καὶ 370). Ἐν ἀποσπάσματι τοῦ κωμικοῦ Διοδώρου παρ' Ἀθην. σελ. 239 δ' κεῖται «κατέλεγεν ἐκ τῶν πολιτῶν δώδεκ' ἄνδρας ἐπιμελῶς ἐκλεξαμένη τοὺς ἐκ *δυναστῶν* γεγονότας, ἔχοντας οὐσίας,

καλῶς βεβιωκότας», ὅπερ ἀτοπώτατον. Ἀλλ' ὑπάρχει καὶ γραφὴ *δυαστῶν*, παντὶ δὲ φανερὸν γίνεται ὅτι εἶπεν ὁ Διόδωρος «τοὺς ἐκ *δύ' ἀστῶν* γεγονότας» (Ἴδε Κόβητον ἐν *Orat. de Art. Interpr.* σελ. 61 καὶ ἐν *Nov. Lect.* σελ. 121). Ὑπὸ τοῦ Δημοσθένους ἐλέχθη σελ. 1313, 46 «*καὶ τὰ πρὸς μητρός* εἰμι *ἀστὸς καὶ τὰ πρὸς πατρός*». Πρβ. καὶ σελ. 1315, 54 «εἰσήγαγεν ἐμὲ *ἀστὸν ἐξ ἀστῆς* ἐγγυητῆς αὐτῷ γεγενημένον εἰδώς».

Ἐν τῇ Ποικίλῃ Ἱστορίᾳ τοῦ Αἰλιανοῦ ἀπαντᾷ καὶ *ἐξ ἀμφοῖν ἀστΟΙΝ* καὶ *ἐξ ἀμφοῖν ἀστΩΝ* βιβλ. ΙΓ', 24 «καὶ Περικλῆς ἔγραψε μὴ εἶναι Ἀθηναῖον ὃς μὴ *ἐξ ἀμφοῖν* γέγονεν *ἀστοῖν*» καὶ βιβλ. ϛ', 10 «Περικλῆς στρατηγῶν Ἀθηναίοις νόμον ἔγραψεν, ἐὰν μὴ τύχῃ τις *ἐξ ἀμφοῖν* ὑπάρχων *ἀστῶν*, τούτῳ μὴ μετεῖναι τῆς πολιτείας». Πρβ. Σουίδ. λ. *δημοποίητος* «Περικλῆς γὰρ ὁ Ξανθίππου νόμον γράψας τὸν μὴ *ἐξ ἀμφοῖν ἀστοῖν* πολίτην μὴ εἶναι, οὐ μετὰ μακρὸν κτέ.»

Ὁ Πλούταρχος λέγει ἐν τῷ Περικλεῖ κεφ. ΛΖ', 3 «ἀκμάζων ὁ Περικλῆς ἐν τῇ πολιτείᾳ — καὶ παῖδας ἔχων — γνησίους νόμον ἔγραψε μόνους Ἀθηναίους εἶναι τοὺς *ἐκ δυοῖν Ἀθηναίων* γεγονότας».

Ἄξια μνείας ἡμῖν φαίνονται τὸ τοῦ Πολυδεύκους βιβλ. Η', 85 «εἰ Ἀθηναῖοί εἰσιν *ἑκατέρωθεν* ἐκ τριγονίας» καὶ τὸ τοῦ Δημοσθένους σελ. 1308, 30 «τοῖς χρόνοις τοίνυν οὕτω φαίνεται γεγονώς, ὥστ', εἰ καὶ *κατὰ θάτερα* ἀστὸς ἦν, εἶναι πολίτην προσήκειν αὐτόν» (περὶ οὗ ἴδε Δινδόρφιον εἰς *Δημοσθέν*. Τόμ. Ζ', σελ. 1339) καὶ τὸ σελ. 1313, 46 «*ἘΞ ἀμφοτέρων* ἀστὸν ὄντα με — εἶναι πολίτην» καὶ τὸ τοῦ Εὐριπίδου Ἀλκ. 920 «ὡς εὐπατρίδαι καὶ *ἈΠ' ἀμφοτέρων* ὄντες *ἀριστέων* σύζυγες ἦμεν». Ἐν παρόδῳ παρατηροῦμεν ὅτι ὁ Κόβητος μετέβαλεν ἐν *Μνημοσ* 1883, σελ. 273 τὸ παρ' Ἡροδότῳ βιβλ. Γ', 31 «ἦν οἱ *ἈΠ' ἀμφοτέρων* ἀδελφεή» εἰς τὸ *ΠΡΟΣ ἀμφοτέρων*. Ἀλλὰ καὶ ἐν βιβλ. Ζ', 97 κεῖται «ἐὼν *ἈΠ' ἀμφοτέρων* ἀδελφεός» (Πρβ. καὶ Ναύκιον ἐν *Mél. Gréco-Rom.* Τόμ. Β', σελ. 242).

Ἐν τῇ προκειμένῃ ἡμῖν ῥήσει τοῦ Ἀριστοτέλους εἶνε γεγραμμένον *Περικλέους εἰπόντος*, ὡς παρὰ τῷ Ἀνδοκίδῃ περὶ τῆς Ἑαυτ. Καθ. 23 «τὸ ψήφισμα ὅ, *Μενίππου εἰπόντος*, ἐψηφίσασθε». Σύνηθες ὑπάρχει ἐν τοῖς ψηφίσμασι τὸ *ὁ δεῖνα εἶπε(ν)*. *Πατροκλείδης εἶπεν* (Ψήφ. παρ' Ἀνδοκίδ. περὶ τῶν Μυστηρ. 17), κτλ. (Ἴδε Συλλογ. Ἐπιγρ.

Ἑλλην. Διττεμβ. σελ. 410 καὶ 412 καὶ 422, κτλ.). Λέγεται δὲ καὶ *γνώμῃ τινός* (Πρβ. *Leipz. Stud.* Τόμ. ΙΓ', σελ. 415) καὶ *γνώμῃ τινός*, οἷον Θουκυδ. Α', 90 «οἱ δ' Ἀθηναῖοι *Θεμιστοκλέους γνώμῃ* τοὺς μὲν Λακεδαιμονίους ταῦτ' εἰπόντας — εὐθὺς ἀπήλλαξαν». Γίνεται δὲ χρῆσις ὑπὸ τῶν Ἑλλήνων καὶ τοῦ *λέγειν γνώμην* καὶ *εἰπεῖν γνώμην*, οἷον Ἀριστοφ. Ἱππ. 267 «*λέγειν γνώμην* ἔμελλον ὡς δίκαιον κτέ.» καὶ Πλούτ. Λυκ. Ϛ', 3 «*εἰπεῖν* μὲν οὐδενὶ *γνώμην* τῶν ἄλλων ἐφεῖτο» καὶ Θουκυδ. Η', 67 «τὸν δῆμον ξυλλέξαντες *εἶπον γνώμην* δέκα ἄνδρας ἑλέσθαι». Μετ' ὀλίγα ἐντυγχάνει τις τῷ «ἐσήνεγκαν οἱ ξυγγραφῆς — ἐξεῖναι μὲν Ἀθηναίων *ἀνειπεῖν γνώμην* ἣν ἄν τις βούληται· ἢν δέ τις τὸν εἰπόντα γράψηται παρανόμων κτέ.», ἀνθ' οὗ οἱ πλεῖστοι τῶν κωδίκων ἔχουσιν *ἀνατρέπειν γνώμην*. Ὁ Κόβητος ἀποφαίνεται ἐν τῇ ἐκδόσει τοῦ Ὑπερείδου Ἐπιταφίου σελ. 47-8 ὅτι ἐλέχθη ὑπὸ τοῦ Θουκυδίδου *εἰπεῖν*, ὡς ἐν τοῖς ἐπιφερομένοις *τὸν εἰπόντα* (Πρβ. καὶ *Var. Lect.* σελ. 457 ἐκδ. β'). Φέρεται δὲ καὶ ἐν βιβλ. Η', 68 «ἦν δὲ ὁ μὲν *τὴν γνώμην ταύτην εἰπὼν* Πείσανδρος». Ἄλλοι ἐξέβαλον μὲν τὴν λέξιν *Ἀθηναίων*, ἀνέγνωσαν δὲ *ἀνατεὶ εἰπεῖν γνώμην* (Ἴδε Στάλλιον εἰς *Θουκυδ. Πόππ.* Τόμ. Δ', β', σελ. 129 καὶ Καιβέλιον ἐν *Ἑρμ.* 1887, σελ. 500). Ἀπαντᾷ δ' ἐν τῇ Ἑλληνικῇ γλώσσῃ καὶ τὸ *εἰσηγεῖσθαι γνώμην* καὶ *εἰσηγητὴς γνώμης* καὶ τὸ *ἀποφαίνεσθαι γνώμην*. περὶ οὗ ἐποιήσατο λόγον ὁ μακαρίτης Βασιάδης ἐν τῇ ἐκδόσει τῶν Δημοσθένους Φιλιππικῶν Τόμ. Α', σελ. 114-5, καὶ τὸ *ἀποδείκνυσθαι γνώμην* καὶ *ἀπόδειξις γνώμης* (Δημοσθέν. σελ. 772, 9) καὶ τὸ *ἐκφέρεσθαι γνώμην* καὶ τὸ *προτιθέναι γνώμην* καὶ τὸ *γνώμην τίθεσθαι* (Ἀνδοκίδ. περὶ τῆς πρὸς Λακεδ. Εἰρ. 21) καὶ τὸ *συμβάλλεσθαι γνώμην* (*γνώμην συμβάλλεσθαι τῆς βουλῆς* πολλάκις ἐν ταῖς Ἀττικαῖς ἐπιγραφαῖς) καὶ *νικᾶν γνώμην*, περὶ οὗ ἐγένετο ὑφ' ἡμῶν λόγος ἐν τῷ περιοδικῷ συγγράμματι Πλάτωνι 1879, σελ. 282. Περὶ τοῦ *γνώμην τίθεσθαι* ἴδε Βλαϋδέσιον εἰς *Σοφ. Φιλ.* σελ. 290. Ἀνελλήνιστον εἶνε τὸ κείμενον ἐν ἐπιγραφῇ κατακεχωρισμένῃ ἐν τῷ Ἑρμῇ 1885, σελ. 441 (καὶ 446) «*πρυτάνεως γ(ν)ωμηεισηγητοῦ* καὶ ἐπιψηφιστοῦ», ὃ μετατυπωτέον εἰς τὸ *γνώμηΣ εἰσηγητοῦ*. Ὁ Σχοιμαννὸς γράφει ἐν τῷ *De Comit. Athen.* σελ. 118 «Ceterum frequentissimae sunt hae locutiones : ψήφισμα vel γνώμην γράφειν, Aesch. adv. Cte-

siph. p. 384. ibique Taylor. γνώμην εἰπεῖν, εἰσηγεῖσθαι, Plutarch. Pericl. c. 13. γνώμην vel ψήφισμα διδόναι, Aesch. de fals. leg. 490. Demosth. adv. Timocrat. p. 704. etc.». Ὑπὸ Διονυσίου τοῦ Ἁλικαρνασσέως ἐρρήθη ἐν τῇ Ῥωμαϊκῇ Ἀρχαιολογίᾳ *γνώμην ἀγορεύειν*-*γνώμας ἀγορεύειν*, ὅπερ ἀπεδοκίμασεν ὁ Κόβητος ἐν *Παρατηρ. εἰς Διον. Ἁλικαρν.* σελ. 8. Παρὰ τῷ Αἰσχίνῃ κατὰ Κτησ. 108 φέρεται «οἱ Ἀμφικτύονες (Ἀμφικτυόνες) ἐψηφίσαντο, Σόλωνος *εἰπόντος* Ἀθηναίου *τὴν γνώμην*, ἐπιστρατεύειν ἐπὶ τοὺς ἐναγεῖς», περιγράφει δ' ὁ Κόβητος ἐν *Var. Lect.* σελ. 494 ἐκδ. β' τὸ *Ἀθηναίου τὴν γνώμην* λέγων «Praeter ea quae Weidner rectissime expunxit et ab Aeschinis persona aliena et apud Athenienses auditores perinepta deleverim quoque Ἀθηναίου τὴν γνώμην. Graecum est Σόλωνος Ἀθηναίου εἰπόντος, sed absurda compositio est Σόλωνος εἰπόντος Ἀθηναίου, ut si quis vellet dicere Θουκυδίδης ξυνέγραψεν Ἀθηναῖος. Sexcenties in psephismatis legitur ὁ δεῖνα *εἶπεν* et hinc τοῦ δεῖνος *εἰπόντος*. Nemo umquam his addit τὴν γνώμην». Ἡμεῖς νομίζομεν ὅτι ἄμεμπτον εἶνε τὸ *γνώμην εἰπόντος* ἢ *εἰπόντος γνώμην*· οὐδὲν δ' ἐκώλυε νὰ λεχθῇ καὶ μετὰ τοῦ ἄρθρου *εἰπόντος τὴν γνώμην*, ὡς εἶνε ὑπὸ τοῦ Ἀνδοκίδου εἰρημένον περὶ τῶν Μυστηρ. 73 «*εἶπε τὴν γνώμην* Πατροκλείδης» καὶ ὑπὸ τοῦ Ἀριστοτέλους ἐν τῇ Ἀθηναίων Πολιτείᾳ σελ. 38, 3 «Ἀριστίωνος *(γ)ρ(ά)ψαντος τὴν γνώμην*» καὶ σελ. 80, 18 «εἰπό(ντο)ς τὸν μὲν πρὸ τοῦ ψηφίσματος λόγον Μηλοβίου, *τὴν δὲ γνώμην γράψαντος* Πυθοδώρου», τουτέστι τὴν περὶ τοῦ πράγματος γνώμην, τὴν γνώμην καθ' ἣν ἐγένετο ἡ ἀπόφασις. Κακίζει δ' ὁ Κόβητος ἐν τῷ αὐτῷ βιβλίῳ τὸ ὑπὸ τοῦ Πλουτάρχου ῥηθὲν *γνώμην ἐποιεῖτο* σελ. 386 «In *Themistocle* cap. 10. κρατήσας τῇ γνώμῃ dixit pro νικήσας τὴν γνώμην et cap. 16. γνώμην ἐποιεῖτο pro εἰσηγεῖτο, ut recte legitur in *Pericle* cap. 13. εἰσηγουμένου γνώμην Περικλέους». Περὶ τοῦ *ποιοῦμαι γνώμην* οὐδὲν νῦν λέγομεν, παρατηροῦμεν δ' ὅτι ὁ Ἡρόδοτος εἶπεν *ἐκράτεε τῇ γνώμῃ* καὶ *γνώμῃσι νικᾶν* καὶ *ἑσσοῦτο τῇ γνώμῃ* (βιβλ. Θ', 42 καὶ Γ', 82 καὶ Η', 75). Ἴδε περιοδ. Πλάτ. 1879, σελ. 282. Πρβ. καὶ Κόβητον ἐν *Μνημοσ.* 1883, σελ. 79.

σελ. 76, 1 «ἐξῆν γὰρ τῷ βουλομένῳ Λακιαδῶν καθ' ἑκά-

στην τὴν ἡμέραν ἐλθόντι παρ' αὐτὸν ἔχειν τὰ μέτρια, ἔτι δὲ τὰ χωρία πάντα ἄφρακτα ἦν, ὅπως ἐξῆν τῷ βουλομένῳ τῆς ὀπώρας ἀπολαύειν».

Τοῦ πράγματος ποιεῖται μνείαν καὶ ὁ Πλούταρχος Κίμ. Ι', 1. Πρβ. καὶ Περικλ. Θ', 2 (Ἴδε καὶ Σίντενιν εἰς *Πλουτ. Περικλ.* σελ. 100). Καὶ περὶ τοῦ Ἐφιάλτου ἱστορεῖ ὁ Ἡρακλείδης κεφ. Α' ὅτι «τοὺς ἰδίους ἀγροὺς ὀπωρίζειν παρεῖχε τοῖς βουλομένοις, ἐξ ὧν πολλοὺς ἐδείπνιζεν». Νομίζει δ' ὁ Σίντενις ἐν τῇ ἐκδόσει τοῦ Πλουτάρχου Περικλέους σελ. 105 ὅτι κατὰ πλάνην τοῦτο ἐλέχθη, θέντος τοῦ Ἡρακλείδου ἀντὶ τοῦ ὀνόματος τοῦ Κίμωνος τὸ τοῦ Ἐφιάλτου (Ἴδε καὶ Σνειδεβῖνον εἰς *Ἡρακλείδ.* σελ. 39).

Ὁ ἐκδότης σημειοῦται «ὅπως ἐξῆν: this is the reading of the MS., though it may be questioned whether we should not read ἐξῇ». Κατ' οὐδένα τρόπον ἠδύνατο νὰ ῥηθῇ ἐν τῷ προκειμένῳ χωρίῳ *ὅπως ἐξῆν*. Καλῶς δ' ἔχει τὸ «τὰ χωρία πάντα ἄφρακτα *ἦν*, ὅπως *ἐξῇ* τῷ βουλομένῳ τῆς ὀπώρας ἀπολαύειν», ᾧ ὅμοια τὸ ἐν σελ. 43, 13 «τοῦτο δ' *ἐποίει* δυοῖν (χά)ριν, ἵν(α) μήτε ἐν τῷ ἄστει *διατρίβωσιν* — καὶ ὅπως — μήτ' *ἐπιθυμῶσι* μήτε *σχολάζ(ωσιν)* ἐπιμελεῖσθαι τῶν κοινῶν» καὶ τὸ ἐν σελ. 95, 2 «*ἀφεῖλον*, ὅπως μὴ ᾖ τοῖς συκοφάνταις ἔφοδος». Πρβ. καὶ σελ. 6, 14 καὶ σελ. 13, 4 καὶ σελ. 27, 1 καὶ σελ. 54, 2 καὶ 8 καὶ σελ. 55, 7. Ἔτι δὲ σελ. 81, 14 καὶ σελ. 82, 5. Ἐρρήθη δὲ καὶ ὑπὸ τοῦ Πλουτάρχου ἐν τῷ Κίμωνι κεφ. Ι', 1 «τῶν τε γὰρ ἀγρῶν τοὺς φραγμοὺς *ἀφεῖλεν*, ἵνα καὶ τοῖς ξένοις καὶ τῶν πολιτῶν τοῖς δεομένοις ἀδεῶς *ὑπάρχῃ* λαμβάνειν τῆς ὀπώρας». Πρβ. καὶ Περικλ. Θ', 2.

σελ. 76, 5 «πρὸς δὴ ταύτην τὴν χορηγίαν ἐπιλειπόμενος (γρ. ἈΠΟλειπόμενος) ὁ Περικλῆς τῇ οὐσίᾳ, συμβουλεύοντος αὐτῷ Δαμωνίδου τοῦ Οἴηθεν (ὃς ἐδόκει τῶν πολέμων εἰσηγητὴς εἶναι τῷ Περικλεῖ, διὸ καὶ ὠστράκισαν αὐτὸν ὕστερον), ἐπεὶ τοῖς ἰδίοις ἡττᾶτο, διδόναι τοῖς πολλοῖς τὰ αὐτῶν, κατεσκεύασε μισθοφορὰν τοῖς δικασταῖς· ἀφ' ὧν αἰτιῶνταί τινες χείρω γενέσθαι, κληρουμένων ἐπιμελῶς ἀεὶ μᾶλλον τῶν τυχόντων ἢ τῶν ἐπιεικῶν ἀνθρώπων».

Ὁ Πλούταρχος λέγει ἐν τῷ Περικλεῖ κεφ. Δ', 1 «Διδάσκαλον δ' αὐτοῦ τῶν μουσικῶν οἱ πλεῖστοι Δάμωνα γενέσθαι λέγουσιν—Ὁ δὲ Δάμων ἔοικεν ἄκρος ὢν σοφιστὴς καταδύεσθαι μὲν εἰς τὸ τῆς μουσικῆς ὄνομα πρὸς τοὺς πολλοὺς ἐπικρυπτόμενος τὴν δεινότητα, τῷ δὲ Περικλεῖ συνῆν καθάπερ ἀθλητῇ τῶν πολιτικῶν ἀλείπτης καὶ διδάσκαλος. Οὐ μὴν ἔλαθεν ὁ Δάμων τῇ λύρᾳ παρακαλύμματι χρώμενος ἀλλ' ὡς μεγαλοπράγμων καὶ φιλοτύραννος ἐξωστρακίσθη καὶ παρέσχε τοῖς κωμικοῖς διατριβήν. Ὁ γοῦν Πλάτων καὶ πυνθανόμενον αὐτοῦ τινα πεποίηκεν οὕτω·

πρῶτον μὲν οὖν μοι λέξον, ἀντιβολῶ· σὺ γάρ,
ὥς φασι, Χείρων ἐξέθρεψας Περικλέα».

Ἐν δὲ κεφ. Θ', 2 εἶνε γεγραμμένον «τούτοις ὁ Περικλῆς καταδημαγωγούμενος τρέπεται πρὸς τὴν τῶν δημοσίων διανομήν, συμβουλεύσαντος αὐτῷ Δημωνίδου τοῦ Οἴηθεν, ὡς Ἀριστοτέλης ἱστόρηκεν».

Οὐδαμῶς ἡμεῖς ἀμφιβάλλομεν ὅτι ὁ Δάμων ἐποιήσατο πρὸς τὸν Περικλέα τὴν περὶ διανομῆς τῶν δημοσίων συμβουλήν, ἡ δ' ἀληθὴς γραφὴ ἔν τε τῷ Περικλεῖ τοῦ Πλουτάρχου καὶ ἐν τῇ Ἀθηναίων Πολιτείᾳ τοῦ Ἀριστοτέλους εἶνε «συμβουλεύσαντος αὐτῷ (Δάμωνος) Δαμωνίδου τοῦ Οἴηθεν (Οἰῆθεν)».

Ἐν τοῖς Ἐθνικοῖς Στεφάνου τοῦ Βυζαντίου φέρεται σελ. 482, 3 «Ὄα: δῆμος τῆς Ἀττικῆς, τῆς Πανδιονίδος φυλῆς — Ὁ μέντοι δημότης Ὄαθεν λέγεται· Δάμων Δαμωνίδου Ὄαθεν». Ὅθεν ἀνέγνω ὁ Κόβητος ἐν τῷ χωρίῳ τοῦ Πλουτάρχου «Δάμωνος Δαμωνίδου *Ὄαθεν*» (Ἴδε Μνημοσ. 1873, σελ. 133 καὶ 1878, σελ. 154. Πρβ. καὶ 1874, σελ. 384). Καὶ ὁ Βουσόλτιος ἀποφαίνεται ἐν *Ἑλλην. Ἱστορ.* Τόμ. Β', σελ. 456, σημ. ὅτι ἀναγκαίως ἔχει ἐν τῷ χωρίῳ τοῦ Πλουτάρχου πρὸ τοῦ *Δαμωνίδου* νὰ προστεθῇ τὸ *Δάμωνος*.

Τοῦ διὰ τοῦ Η ἐν τοῖς ἀντιγράφοις τοῦ Πλουτάρχου προενηνεγμένου τύπου *Δημωνίδου* ἐμνήσθη ὁ Φρίσχιος ἐν *Quaest. Aristoph.* Τόμ. Α', σελ. 215.

Ἐγένετο δ' ὑπὸ τοῦ Ἀριστοτέλους χρῆσις τῆς μετὰ τοῦ ἄρθρου ἐκφορᾶς «Δάμωνος Δαμωνίδου *τοῦ* Οἴηθεν (Οἰῆθεν)», ὡς καὶ ἐν σελ. 91, 1 «Καλλίου *τοῦ* Ἀγγελῆθεν» καὶ ἐν σελ. 117, 6 «Εὐμηλείδης (Εὐμηλίδης) *ὁ* Ἀλωπεκῆθεν». Ἐλέχθη δ' ὑπ' αὐτοῦ καὶ ἄνευ τοῦ ἄρθρου ἐν σελ. 61, 1 «Μεγακλῆς Ἱπποκράτους Ἀλωπεκῆθεν». Πρβ.

καὶ σελ. 59, 1 «Ἵππαρχος Χάρμου Κολλυτεύς» καὶ σελ. 78, 8 «Καλλικράτης Παιανιεύς» καὶ σελ. 99 100 «Ῥίνων τε ὁ Παιανιεὺς καὶ Φάϋλλος ὁ Ἀχερδούσιος» καὶ σελ. 51, 5 καὶ σελ. 107, 2.

Τὸ *πολέμων* τὸ ἐν τῇ φράσει «ὃς ἐδόκει τῶν *πολέμων* εἰσηγητὴς εἶναι τῷ Περικλεῖ» μετατυπωτέον εἰς τὸ *πολιτικῶν* Πρβ. Πλούτ. Περικλ. Δ', 1 «τῷ δὲ Περικλεῖ συνῆν καθάπερ ἀθλητῇ τῶν *πολιτικῶν* ἀλείπτης καὶ διδάσκαλος».

Ἐπειδὴ ἥκιστα συνᾴδουσι τὸ «κατεσκεύασε μισθοφορὰν *τοῖς δικασταῖς*» καὶ τὸ «ἀφ' ὧν αἰτιῶνταί τινες *χείρω* γενέσθαι», ἀναγκαίως ἔχει ἢ τὸ *χείρω* νὰ μεταβληθῇ εἰς τὸ *χείρΟΥΣ* ἤ, ὅπερ μᾶλλον ἡμῖν ἀρέσκει, τὸ *δικασταῖς* εἰς τὸ *δικαστΗΡΙΟΙΣ*. Ἐν σελ. 75, 12 λέγεται «ἐποίησε δὲ καὶ *μισθοφόρα τὰ δικαστήρια* Περικλῆς πρῶτος, ἀντιδημαγωγῶν πρὸς τὴν Κίμωνος εὐπορίαν». Πρβ. καὶ Πολιτικ. Β', θ', 3 «*τὰ* δὲ *δικαστήρια μισθοφόρα* κατέστησε Περικλῆς».

Τὸ ὄνομα *μισθοφορά* ἀπαντᾷ καὶ ἐν σελ. 83, 11 «βουλεύειν μὲν κατ' ἐνιαυτὸν τοὺς ὑπὲρ τριάκοντα ἔτη γεγονότας ἄνευ *μισθοφορᾶς*». Ὁ ἀοίδιμος Κοραῆς γράφει ἐν τῇ ἐκδόσει τῶν Ξενοφῶντος Ἀπομνημονευμάτων καὶ τοῦ Πλάτωνος Γοργίου σελ. 348 «πεποιηκέναι Ἀθηναίους ἀργοὺς . . . εἰς μισθοφορὰν πρῶτον καταστήσαντα: Μαρτυρεῖ τούτοις καὶ Πλούταρχος (Περικλ. § 9). Μισθοφορὰν δὲ ἰδίως τὸν μισθὸν τῶν στρατευομένων οἱ παλαιοὶ ἐκάλουν, ὥς φησι Σουίδας (λέξ. Μισθοφορά), καθάπερ οἱ Γάλλοι solde ἰδίως καλοῦσι τὸν διδόμενον τοῖς στρατευομένοις μισθόν. Ἐνθάδε μέντοι περὶ παντὸς μισθοῦ ἐκ τοῦ δημοσίου λαμβανομένου, ἐκδεκτέον τὴν μισθοφοράν, ὡς ἐσημειώσατο καὶ ὁ Ἑ., παραθέμενος καὶ τὸν Ἀριστοτέλην (Πολιτικ. Β, θ', § 3) λέγοντα, Τὰ δὲ δικαστήρια μισθοφόρα κατέστησε Περικλῆς» (Πρβ. καὶ Ἄστιον ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. ΙΑ', σελ. 426). Σημειωτέον δ' ὅτι ὑπό τε τοῦ Σταλβαυμίου καὶ ἄλλων ἐξεδόθη παρὰ τῷ Πλάτωνι (Γοργ. σελ. 515 ε') «εἰς *μισθοφορίαν* πρῶτον καταστήσαντα», ὡς εἶνε ἐν τοῖς κώδιξι γεγραμμένον. Ἀλλ' ὁ Κόβητος ἀποδοκιμάζει τὸν τύπον τοῦτον ἐν *Nov. Lect.* σελ. 741 λέγων «Præterea μισθοφορία non est Xenophonteae ætatis vocabulum: veteres constanter μισθοφορά dixerunt». Πρβ. καὶ Λ. Δινδόρφιον ἐν τῇ ἐκδόσει Μικρῶν Συγγραμμάτων τοῦ Ξενοφῶντος σελ. 42-3. Ἀκριβῶς περὶ τῶν λέξεων *μισθοφορά* καὶ *μισθοφόρος-μισθοφορῶ*, *μίσθαρ-*

νος-μισθαρνῶ, κτλ., *μισθωτός*, *ἔμμισθος* (*ἄμισθος*, *ἀπόμισθος*), *μίσθιος* θὰ διαλάβωμεν ἑτέρωθι.

σελ. 76 18 «Ἕως μὲν οὖν Περικλῆς προειστήκει τοῦ δήμου βελτίω τὰ κατὰ τὴν πολιτείαν ἦν, τελευτήσαντος δὲ Περικλέους πολὺ χείρω. πρῶτον γὰρ τότε προστάτην ἔλαβεν ὁ δῆμος οὐκ εὐδοκιμοῦντα τὰ παρὰ τοῖς ἐπιεικέσιν· ἐν δὲ τοῖς πρότερον χρόνοις ἀεὶ διετέλουν οἱ ἐπιεικεῖς δημαγωγοῦντες».

Ἄνευ τινὸς ὄκνου ἐξαλείφομεν τὸ μετὰ τὴν μετοχὴν *εὐδοκιμοῦνΤΑ* κείμενον ἄρθρον ΤΑ.

Περὶ τοῦ *ἐν τοῖς πρότερΟΝ χρόνοις* θὰ εἴπωμεν τὰ δέοντα ἐν ἑτέρῳ τόπῳ.

σελ. 78, 5 «Κλεοφῶν ὁ λυροποιός, ὃς καὶ τὴν διωβολίαν ἐπόρισε πρῶτος· καὶ χρόνον μέν τινα διεδίδου, μετὰ δὲ ταῦτα κατέλυσε Καλλικράτης Παιανιεὺς πρῶτος ὑποσχόμενος ἐπιθήσειν πρὸς τοῖν δυοῖν ὀβολοῖν ἄλλον ὀβολόν».

Ὁ διὰ τοῦ Ο γεγραμμένος τύπος *διωβΟλία* ἀπαντᾷ καὶ ἐν τοῖς Πολιτικοῖς τοῦ Ἀριστοτέλους βιβλ. Β', δ', 11. Ἐν ταῖς Ἀττικαῖς ἐπιγραφαῖς βλέπει τις τὴν διὰ τοῦ Ε ἐκφορὰν *διωβΕλία*. Ὁ Βηρμανὸς γράφει ἐν *Stud. Curt.* Τόμ. Θ', σελ. 16 «*ὀβελός* pro volgari ὀβολός habes in Thesp. Δ. 25, 8; Dor. ὀδελός. Attamen Attici quoque antiquitus ε retinebant in διωβελία, quod sæpe occurrit in titulis Atticis (διωβολία Arist. pol. II 7) — Ὀβελός autem et ὀβολός antiquitus eadem fuisse vocabula testarur Aristoteles ap. Poll. IX 77». Τῆς λέξεως *διωβελία* ἐποιήσατο χρῆσιν καὶ ὁ Ξενοφῶν Ἑλλ. Α', ζ', 2 «Ἀρχέδημος ὁ τοῦ δήμου τότε προεστηκὼς — καὶ τῆς *διωβελίας* ἐπιμελόμενος». Εἶνε δὲ τὸ *διωβελίας* ἀνάγνωσις τοῦ Λ. Δινδορφίου (*Ξενοφ. Ἑλλην.* σελ. 54) ἀντὶ τοῦ ἐν τοῖς ἀντιγράφοις κειμένου *διωΚελίας* — *διωΚελείας* (*Δεκελείας*). Διὰ τοῦ Ε ἐξεφέρετο καὶ τὸ ὄνομα *ἐπωβΕλία*. Ἐλέχθη δὲ καὶ *ἡμιωβΕλιον* (Ἴδε Μειστεράνσιον ἐν *Γραμμ. τῶν Ἀττ. Ἐπιγρ.* σελ. 18 ἐκδ. β').

Ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις σελ. 355, 44 Βεκκ. φέρεται «πέδας: — ἤτοι παρὰ τὸ πιέζειν εἴρηνται ἢ παρὰ τοὺς πόδας, ὥσπερ παρὰ τὸν *ὀβΟλὸν* τὸ *ἡμιωβΕλιον*».

Παράδοξον φαίνεται τὸ ὅτι Κλεοφῶν ὁ λυροποιὸς χρόνον τινὰ διεδίδου τὴν διωβολίαν (ἢ διωβελίαν)· ἐκλείπει δ' ἡ ἀτοπία, ἂν ἀναγνωσθῇ «καὶ χρόνον μέν τινα *διεδίδΟΤΟ*».

Περὶ τῆς χρήσεως *πρὸς τοῖν δυοῖν 'ΟΒΟΛΟΙΝ ἄλλον 'ΟΒΟΛΟΝ* θὰ γράψωμεν ἐν οἰκειοτέρῳ τόπῳ.

σελ. 79, 3 «εἴωθεν γάρ, κἂν ἐξαπατηθῇ τὸ πλῆθος, ὕστερον μισεῖν τούς τι προσαγαγόντας ποιεῖν αὐτοὺς τῶν μὴ καλῶς ἐχόντων».

Δὲν λέγεται ἑλληνιστὶ *προσάγω τινὰ ποιεῖν τι* ἀλλὰ *προάγω τινὰ ποιεῖν τι*. Ἐρρήθη δὲ καὶ ὑπὸ τοῦ Ἀριστοτέλους «τούς τι *προαγαγόντας* ποιεῖν αὐτοὺς τῶν μὴ καλῶς ἐχόντων» Παρὰ τῷ Θουκυδίδῃ ἀπαντᾷ βιβλ. Γ', 45 «καὶ ἐκ τῶν ὑποδεεστέρων κινδυνεύειν τινὰ *προάγει*», οὗ ἐν τοῖς Σχολίοις γίνεται ἐξήγησις διὰ τοῦ *παρακινεῖ*. Κεῖται δὲ καὶ παρὰ τῷ Δημοσθένει σελ. 296, 206 «ἐγὼ *προήγαγον* ὑμᾶς ἄξια τῶν προγόνων φρονεῖν» καὶ σελ. 603, 32 «*προάγειν* ἂν ὡς πονηροτάτους εἶναι» καὶ παρὰ τῷ Ἰωσήπῳ Τόμ. Ε', σελ. 94, 12 Νισ. «τῆς πατρίου πολιτείας καὶ τῶν νόμων ὅτι *προῆγεν* αὐτοὺς καταφρονεῖν».

Μυριάκις συνεχύθησαν ὑπὸ τῶν βιβλιογράφων αἱ προθέσεις ΠΡΟ καὶ ΠΡΟΣ. Ὡς δὲ παρὰ τῷ Ἀριστοτέλει ἐγράφη κακῶς *προΣαγαγόντας* ἀντὶ τοῦ *προαγαγόντας*, οὕτω παρὰ τῷ Πλουτάρχῳ *προΣηγάγετο* ἀντὶ τοῦ *προηγάγετο* Ἠθικ. σελ. 115 δ' «μόγις πᾶσαν μηχανὴν μηχανησάμενος *προΣηγάγετο* φθέγξασθαί τι πρὸς αὐτόν». Ὁ Πλούταρχος εἶπε *προηγάγετο*, ὡς ἐν σελ. 124 τέλ. «ταῦτα γὰρ δήπου *προάγεται* πολλάκις χρῆσθαι τοῖς περιβοήτοις καὶ σπανίοις» καὶ ἐν σελ. 127 ς' «ἀναπείθει καὶ *προάγεται* βαδίζειν ἀναστάντας ἰταμῶς ἐπὶ τὴν συνήθειαν». Παρέχουσι δ' ἡμῖν μαρτύρια τῆς χρήσεως ταύτης καὶ οἱ δόκιμοι, οἷον Ξενοφ. Ἱππαρχ. Ε', 15 «τοῦτο γὰρ τοὺς πολεμίους πολλάκις *προάγεται* ἀφυλακτοῦντας μᾶλλον ἁμαρτάνειν» καὶ Αἰσχίν. κατὰ Κτησ. 117 «ἴσως δὲ καὶ δαιμονίου τινὸς ἐξαμαρ-

τάνειν *προαγομένου*» καὶ Δημοσθέν. σελ. 325, 298 «ἐμὲ οὔτε καιρὸς — οὔτ᾽ ἐλπὶς οὔτε φόβος οὔτ᾽ ἄλλ᾽ οὐδὲν ἐπῆρεν οὐδὲ *προηγάγετο* ὧν ἔκρινα δικαίων καὶ συμφερόντων τῇ πατρίδι οὐδὲν προδοῦναι». Φέρεται δὲ καὶ ἐν τοῖς Πολιτικοῖς τοῦ Ἀριστοτέλους βιβλ. Β', ς', 13 «*προάγεται* τοὺς πολίτας ὅτι πλείστους ποιεῖσθαι παῖδας». Παρατηρητέον δ᾽ ὅτι ἐν τῷ Πανηγυρικῷ τοῦ Ἰσοκράτους § 91 πρὸς τῇ ὀρθῶς ἐχούσῃ γραφῇ «*ΠΡΟαγαγέσθαι* τοὺς Ἕλληνας ἐπὶ τὸ διαναυμαχεῖν» ἔχουσιν οἱ κώδικες καὶ τὴν ἐσφαλμένην *ΠΡΟΣαγαγέσθαι* (Ἴδε Βαιτῆρον εἰς *Ἰσοκρ. Πανηγυρ.* σελ. 60. Πρβ. καὶ Οὐηβῆρον εἰς *Δημοσθ. κατ᾽ Ἀριστοκρ.* σελ. 128 τέλ.).

Ὡς δὲ συντάσσεται ἀπαρεμφάτῳ τὸ *προάγω* καὶ *προάγομαι*, οὕτω καὶ τὸ *ἐνάγω*, *μαίνεσθαι ἐνάγει*, *ἐνάγοντος ξυνεπιλαβέσθαι*, κτλ. Ἐλέχθη δὲ καὶ *ἐνῆγέ σφεας ὯΣΤΕ ποιέειν ταῦτα* ὑπὸ τοῦ Ἡροδότου βιβλ. Δ', 145.

Περὶ τοῦ *τὸ πλῆθος — αὐτοὺς* θὰ γραφῶσι τὰ δέοντα ἐν ἑτέρῳ τόπῳ.

σελ. 79, 5 «ἀπὸ δὲ Κλεοφῶντος ἤδη διεδέχοντο συνεχῶς τὴν δημαγωγίαν οἱ μάλιστα βουλόμενοι θρασύνεσθαι καὶ χαρίζεσθαι τοῖς πολλοῖς πρὸς τὰ παραυτίκα βλέποντες. δοκοῦσι δὲ οἱ βέλτιστοι γεγονέναι τῶν Ἀθήνησι πολιτευσαμένων μετὰ τοὺς ἀρχαίους Νικίας καὶ Θουκυδίδης καὶ Θηραμένης».

Κατὰ τὴν ἡμετέραν γνώμην δὲν ἔγραψεν ὁ Ἀριστοτέλης *πρὸς ΤΑ παραυτίκα* ἀλλὰ *πρὸς ΤΟ παραυτίκα*. Πολλάκις δὲ λέγεται ὑπὸ τῶν παλαιῶν *τὸ παραυτίκα - τὸ παραχρῆμα*, *εἰς τὸ παραυτίκα - εἰς τὸ παραχρῆμα*, *ἐν τῷ παραυτίκα - ἐν τῷ παραχρῆμα*, *ἐκ τοῦ παραυτίκα - ἐκ τοῦ παραχρῆμα* (*ἢ ἀπὸ τοῦ παραχρῆμα*). Ἀρκούμεθα δ᾽ ἐν τῷ παρόντι βραχεῖ περὶ τοῦ πράγματος λόγῳ.

Πλημμελῶς ἔχει ἡ μετὰ τοῦ ὑπογεγραμμένου Ι ἐκφορὰ *Ἀθήνῃσιν*. Τὸ ὀρθὸν εἶνε *Ἀθήνησιν*, ὡς παρετηρήσαμεν καὶ ἐν τῷ Β' τόμῳ τῆς Ἀθηνᾶς σελ. 393 (Ἴδε Παπαδημητρακόπουλον ἐν *Βασ. τῶν περὶ τῆς Ἑλλην. Προφ.* σελ. 340, σημ. 7).

Τοῦ Νικίου ὡς εὐδοκίμου δημαγωγοῦ ἐμνήσθη καὶ ὁ Δημοσθένης σελ. 34, 21 «Καὶ γὰρ τοὺς ἐπὶ τῶν προγόνων ἡμῶν λέγοντας

ἀκούω —, οὓς ἐπαινοῦσι μὲν οἱ παριόντες ἅπαντες, μιμοῦνται δ' οὐ πάνυ, τούτῳ τῷ ἔθει καὶ τῷ τρόπῳ τῆς πολιτείας χρῆσθαι, τὸν Ἀριστείδην ἐκεῖνον, *τὸν Νικίαν*, τὸν ὁμώνυμον ἐμαυτῷ, τὸν Περικλέα. Ἐξ οὗ δ' οἱ διερωτῶντες ὑμᾶς οὗτοι πεφήνασι ῥήτορες· τί βούλεσθε; τί γράψω; τί ὑμῖν χαρίσωμαι; προπέποται τῆς παραυτίκα χάριτος τὰ τῆς πόλεως πράγματα καὶ τοιαυτὶ συμβαίνει· καὶ τὰ μὲν τούτων πάντα καλῶς ἔχει, τὰ δ' ὑμέτερα αἰσχρῶς». Παρασημειωτέον δ' ὅτι ὁ Κόβητος ἀνέγνω «τί βούλεσθε γράψω, ἵν' ὑμῖν χαρίσωμαι» (ἐν *Nov. Lect.* σελ. 396 καὶ ἐν *Mnemos.* 1875, σελ. 429).

Ὁ Θουκυδίδης, ὃν κηδεστὴν τοῦ Κίμωνος λέγει ὁ Ἀριστοτέλης ἐν σελ. 77, 15, ἦτο υἱὸς τοῦ Μελησίου. Ὁ Πλούταρχος γράφει ἐν τῷ Περικλεῖ κεφ. Η', 3 «Διαμνημονεύεται δέ τις καὶ Θουκυδίδου τοῦ Μελησίου λόγος εἰς τὴν δεινότητα τοῦ Περικλέους μετὰ παιδιᾶς εἰρημένος. Ἦν μὲν γὰρ ὁ Θουκυδίδης τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν καὶ πλεῖστον ἀντεπολιτεύσατο τῷ Περικλεῖ χρόνον. Ἀρχιδάμου δὲ τοῦ Λακεδαιμονίων βασιλέως πυνθανομένου πότερον αὐτὸς ἢ Περικλῆς παλαίει βέλτιον, ὅταν, εἶπεν, ἐγὼ καταβάλω παλαίων, ἐκεῖνος ἀντιλέγων ὡς οὐ πέπτωκε νικᾷ καὶ μεταπείθει τοὺς ὁρῶντας» (Πρβ. καὶ Dissert. Philol. Hal. Τόμ. ΙΑ', σελ. 337).

Περὶ τοῦ Θηραμένους, ὃς ἐπαινεῖται μὲν ὑπὸ τοῦ Ἀριστοτέλους καὶ ἐν σελ. 89, 1, ἀπεκαλεῖτο δ' ὑπὸ τῶν συγχρονούντων αὐτῷ Ἀθηναίων Κόθορνος, οὐδεμίαν γνώμην νῦν ἀποφαινόμεθα· διότι, ἵνα προσηκόντως τὰ κατ' αὐτὸν παραστήσωμεν, δεόμεθα μακροῦ λόγου· δὲν ἐπιθυμοῦμεν δὲ νὰ μηκύνωμεν λίαν τὸ Πρῶτον Μέρος τῶν εἰς Ἀριστοτέλους Ἀθηναίων Πολιτείαν ἡμετέρων παρατηρήσεων.

σελ. 80, 12 «Ἕως μὲν οὖν ἰσόρροπα τὰ πράγματα κατὰ τὸν πόλεμον ἦν διεφ(ύλαττον) τὴν δημοκρατίαν. ἐπεὶ δὲ μετὰ τὴν ἐν Σικελίᾳ γενομένην διαφορὰν ἰσχυρότατα τὰ τῶν Λακεδαιμονίων ἐγένετο διὰ τὴν πρὸς βασιλέα συμμαχίαν, ἠναγκάσθησαν με(ταστήσαν)τες τὴν δημοκρατίαν καταστῆσαι τὴν ἐπὶ τῶν τετρακοσίων πολιτείαν».

Ὁ ἐκδότης ποιεῖται τὴν παρατήρησιν τήνδε· «διαφοράν: so the

MS., but it may be questioned whether διαφθοράν is not the right word».

Εὐκολώτατον ἦτο νὰ μεταπέσῃ τὸ *διαφθοράν* εἰς τὸ *διαφοράν* (Ἴδε Ἀθηνᾶν Τόμ. Α', σελ. 315-6). Ἀλλὰ σφόδρ' ἀμφιβάλλομεν ἂν εἶνε ἀποδοχῆς ἀξία ἡ φράσις «μετὰ δὲ τὴν ἐν Σικελίᾳ γενομένην *διαφθοράν*», μὴ προσκειμένης γενικῆς πτώσεως δηλούσης τὸ διαφθαρέν. Πρβ. Πλούτ. Ἠθικ. σελ. 581 δ' «ἀκούω δὲ καὶ τὴν ἐν Σικελίᾳ *τῆς Ἀθηναίων δυνάμεως φθορὰν* προειπεῖν αὐτὸν ἐνίοις τῶν φίλων» καὶ Πολύβ. Β', κ', 6 «πέμπτῳ δὲ *τῆς Γαλατῶν* περὶ Δελφοὺς *διαφθορᾶς*», κτλ.

Πιθανώτατον φαίνεται ὅτι ἐλέχθη ὑπὸ τοῦ Ἀριστοτέλους μετὰ τὴν ἐν Σικελίᾳ γενομένην *ΣΥΜφοράν*», ὡς ὑπὸ τοῦ Θουκυδίδου βιβλ. Η', 106 «διά τε τὰ κατὰ βραχὺ σφάλματα καὶ διὰ *τὴν ἐν Σικελίᾳ ξυμφοράν*» καὶ 24 «οὐδ' αὐτοὺς ἀντιλέγοντας ἔτι μετὰ *τὴν Σικελικὴν ξυμφοράν*». Πρβ. καὶ 106 «ἐπί τε ταῖς περὶ τὴν Εὔβοιαν ἄρτι *ξυμφοραῖς*» καὶ 12, κτλ. Ἐν βιβλ. Η', 98 γράφει ὁ Θουκυδίδης «ἐπολιόρκουν δ' αὐτὸ διὰ *ξυμφορὰν* σφίσιν ἐκ τῆς Οἰνόης γενομένην ἀνδρῶν ἐκ Δεκελείας ἀναχωρούντων *διαφθορᾶς* οἱ Κορίνθιοι». Ποιεῖται δὲ καὶ ἀλλαχοῦ τοῦ προκειμένου ἡμῖν συγγράμματος χρῆσιν ὁ Ἀριστοτέλης τοῦ ὀνόματος *συμφορά*, οἷον σελ. 50, 4 «ὕστερον μετὰ ταύτην τὴν *συμφορὰν* ἦδον» καὶ σελ. 90, 4 «χαλεπῶς ἐνεγκόντες ἐπὶ τῇ *συμφορᾷ* μάλιστα τῶν προγεγενημένων» καὶ σελ. 103, 14 «κάλλιστα δὴ καὶ πολιτικώτατα — χρήσασθαι ταῖς προγεγενημέναις *συμφοραῖς*». Πρβ. καὶ σελ. 92, 7 «*ἠτύχησαν* τὴν ἐν Αἰγὸς ποταμοῖς ναυμαχίαν».

Εὕρομεν δὲ καὶ ἐν τοῖς εἰς Αἰσχίνην Σχολίοις σελ. 341, § 150 Σχουλτζ. «Κλεοφῶντος: οὗτός ἐστιν ὁ λυροποιὸς ἐπικαλούμενος. Ἐδημαγώγησε δὲ τὰ ἔσχατα τοῦ Πελοποννησιακοῦ πολέμου *μετὰ τὴν ἐν Σικελίᾳ συμφοράν*». Κατὰ τὸν αὐτὸν τρόπον ἐρρήθη ὑπὸ τοῦ Λυσίου ὑπὲρ τοῦ Μαντιθ. 4 «ὁ πατὴρ πρὸ *τῆς ἐν Ἑλλησπόντῳ συμφορᾶς* ὡς Σάτυρον — ἐξέπεμψε». Πρβ. Ἐπιτάφ. 58 «ἀπολομένων γὰρ τῶν νεῶν ἐν Ἑλλησπόντῳ — καὶ *συμφορᾶς* ἐκείνης μεγίστης γενομένης κτέ.» καὶ 59 «οἱ μὲν μετὰ τὴν ἡμετέραν *συμφοράν*, οἱ δὲ κτέ.» καὶ Ἀπολ. Δωροδ. 9 «ὅτε γὰρ ἐν τῇ τελευταίᾳ ναυμαχίᾳ αἱ νῆες *διεφθάρησαν* — ἐπειδὴ καὶ τοῖς τριηράρχοις ὠργίσθητε διὰ τὴν

γενομένην *συμφοράν*» καὶ Ἰσοκρ. Πανηγυρ. 119 «αἱ τῆς πόλεως *συμφοραὶ* σαφῶς ἐπέδειξαν — μετὰ γὰρ τὴν ἐν Ἑλλησπόντῳ γενομένην *ἀτυχίαν* — ἐνίκησαν μὲν οἱ βάρβαροι ναυμαχοῦντες, κτέ.». Μνημονεύομεν δὲ καὶ τὸ τοῦ Λυκούργου κατὰ Λεωκρ. 18 «οὐκ ᾐσχύνθη τὴν τῆς πατρίδος *ἀτυχίαν* αὑτοῦ σωτηρίαν προσαγορεύσας».

Ἐν τοῖς Ἠθικοῖς τοῦ Πλουτάρχου σελ. 509 α' ἀπαντᾷ «κουρεὺς δὲ καὶ τὴν ἐν Σικελίᾳ τῶν Ἀθηναίων μεγάλην *κακοπραγίαν* ἀπήγγειλε». Ἐν τοῖς ἑξῆς κεῖται «ἐν τούτῳ παρῆσαν ἡ τὴν *συμφορὰν* ἀπαγγέλλοντες ἐξ αὐτοῦ τοῦ ἔργου διαπεφευγότες». Μεγάλη δ' ἀληθῶς ὑπῆρξεν ἡ ἐν Σικελίᾳ τῶν Ἀθηναίων κακοπραγία, ἣν ἄριστα ὁ Θουκυδίδης παρέστησε διὰ τῶνδε· «κατὰ γὰρ πάντα πάντως νικηθέντες καὶ οὐδὲν ὀλίγον ἐς οὐδὲν κακοπαθήσαντες, πανωλεθρίᾳ δὴ τὸ λεγόμενον καὶ πεζὸς καὶ νῆες καὶ οὐδὲν ὅτι οὐκ ἀπώλετο, καὶ ὀλίγοι ἀπὸ πολλῶν ἐπ' οἴκου ἀπενόστησαν» (βιβλ. Ζ', 87).

Σημειωτέον δ' ὅτι λέγεται καὶ *τρῶμα* ἰωνιστὶ ἡ ἐν πολέμῳ βλάβη ἢ συμφορά, οἷον Ἡρόδ. Δ', 160 «μετὰ δὲ τὸ *τρῶμα* τοῦτο Ἀρκεσίλεων — ὁ ἀδελφὸς Λέαρχος ἀποπνίγει». Ὁ Εὐστάθιος γράφει σελ. 1910, 38 «*τρῶμα* δέ φαμεν οὐ τὴν ἁπλῶς ἀλλ' ἐν πολέμῳ βλάβην» (Ἴδε Βαίριον εἰς *Ἡρόδ.* Τόμ. Α', σελ. 40 ἐκδ. β'. Πρβ. καὶ Ῥοινῆρον ἐν *Act. Sem. Phil. Erl.* Τόμ. Δ', σελ. 6).

Παντὶ δὲ φανερὸν ὑπάρχει ὅτι ὁ Ἀριστοτέλης ἔγραψεν *ἰσχυρότερα*, οὐχὶ *ἰσχυρότατα*· «ἕως μὲν οὖν *ἰσόρροπα* τὰ πράγματα κατὰ τὸν πόλεμον ἦν — ἐπεὶ δὲ — *ἰσχυρότερα* τὰ τῶν Λακεδαιμονίων ἐγένετο διὰ τὴν πρὸς βασιλέα συμμαχίαν». Πάμπολλα δὲ παραδείγματα ἔχομεν νὰ καταλέξωμεν τῆς ἐν τοῖς ἀντιγράφοις συγχύσεως τῶν εἰς ΤΕΡΟΣ-ΤΕΡΟΝ, κτλ. συγκριτικῶν καὶ τῶν εἰς ΤΑΤΟΣ-ΤΑΤΟΝ, κτλ. ὑπερθετικῶν.

Οὐχὶ σπανίως χρῆσις ἐν τῇ Ἑλληνικῇ γλώσσῃ γίνεται τοῦ *μεθιστάναι τι* ἐπὶ τῆς ἐννοίας τοῦ *μεταβάλλειν τι*, οἷον *μεθιστάναι νόμους, νόμιμα, πολιτείαν*, κτλ. Μνημονεύομέν τινα μαρτύρια τοῦ παθητικοῦ *μεθίστασθαι*. Λυσ. κατὰ Νικομ. 14 «ἐν ᾧ ἡ πολιτεία *μεθίστατο*» καὶ ὑπὲρ Μαντιθ. 4 «οὔτε τῶν τειχῶν καθαιρουμένων οὔτε *μεθισταμένης* τῆς πολιτείας». Ξενοφ. Ἑλλην. Β', γ', 24 «ὅπου πολιτεῖαι *μεθίστανται*, πανταχοῦ ταῦτα γίγνεται». Εὑρίσκεται δὲ καὶ τὸ *μετάστασις* παρειλημμένον ἀντὶ τοῦ *μεταβολή* καὶ τὸ *μεταστατέον* ἀντὶ τοῦ

μεταβλητέον παρὰ τῷ Ἰσοκράτει Ἀρχιδ. 40 «εἰ καὶ τὰ νῦν καθεστῶτα λήψεταί τινα *μετάστασιν*» καὶ Φιλ. 132 «ἀλλ' ἀναστρεπτέον καὶ *μεταστατέον* ἅπαντα ταῦτ' ἐστίν». Πρβ. καὶ Πλάτ. Νόμ. σελ. 856 γ' «βιαίου *πολιτείας μεταστάσεως*», κτλ. Ἐλέχθη δὲ καὶ ἁπλῶς *ἡ μετάστασις* ὑπό τε τοῦ Λυσίου κατὰ Νικομ. 10 «ἀπολομένων τῶν νεῶν, *ἡ μετάστασις* ἐπράττετο» καὶ ὑπὸ τοῦ Ἰσοκράτους πρὸς Καλλίμ. 36 «τῶν ἐν *τῇ μεταστάσει* γενομένων». Περὶ τῆς χρήσεως *βασιλείαν ἀντὶ τυραννίδος μεθιστάναι καὶ ἐκ τῆς καθεστηκυίας πολιτείας ἄλλην μεθιστάναι*, κτλ. οὐδὲν νῦν λέγομεν.

Τούτων οὕτως ἐχόντων, ἥκιστα μὲν εὔλογον φαίνεται νὰ τύχῃ μομφῆς ὡς κακῶς ἔχον τὸ *με(ταστήσα)ντες τὴν δημοκρατίαν*, ἀλλὰ δὲν εἶνε ἀπίθανον ν' ἀπαρέσκωνταί τινες αὐτῷ διὰ τὸ εὐθὺς ἐπιφερόμενον *καταστῆσαι*· «ἠναγκάσθησαν *μεταστήσαντες* τὴν δημοκρατίαν *καταστῆσαι* τὴν ἐπὶ τῶν τετρακοσίων πολιτείαν». Καὶ ἡμεῖς δέ, καίπερ οὐδαμῶς ἰσχυριζόμενοι ὅτι ἀδύνατον ὑπῆρχε νὰ ῥηθῇ τοῦτο ὑπὸ τοῦ Ἀριστοτέλους ἢ καὶ ἄλλου Ἕλληνος, δοξάζομεν ὅτι καλλίων ἀποβαίνει ὁ λόγος, ἂν ἀναγνωσθῇ *με(ταβαλό)ντες τὴν δημοκρατίαν*, ὡς κεῖται ἐν τοῖς Πολιτικοῖς τοῦ Ἀριστοτέλους βιβλ. Δ', ε', 2 «κρατοῦσι δ' οἱ *μεταβάλλοντες τὴν πολιτείαν*» καὶ βιβλ. Ε', γ', 8 «τὸ πρῶτον ἑκόντων *μεταβάλλουσι τὴν πολιτείαν*» καὶ ε', 6 «ἐνεχείρησε *μεταβαλεῖν τὴν πολιτείαν*». Πρβ. βιβλ. Ε', δ', 1 «*αἱ* μὲν οὖν *δημοκρατίαι* μάλιστα *μεταβάλλουσι* διὰ τὴν τῶν δημαγωγῶν ἀσέλγειαν» καὶ ε', 1 «*αἱ* δ' *ὀλιγαρίχαι μεταβάλλουσι* διὰ δύο μάλιστα τρόπους», κτλ. Ἐν τῇ Ἀθηναίων Πολιτείᾳ εἶπεν ὁ Ἀριστοτέλης σελ. 104, 10 «ἦν δὲ τῶν *μεταβολῶν* ἑνδεκάτη τὸ(ν ἀρι)θμὸν αὕτη».

Ἠδύνατο δ' ὁ Ἀριστοτέλης νὰ γράψῃ καὶ *οἱ μετακινήσαντες τὴν πολιτείαν* καὶ *οἱ κινήσαντες τὴν πολιτείαν*.

Τοῦ *μετακινεῖν τὴν πολιτείαν* φέρομεν παράδειγμα τὸ τοῦ Δημοσθένους σελ. 688, 205 «ὅτι *τὴν* Παρίων *μετεκίνησε πολιτείαν*». Πρβ. καὶ Ἀριστοτ. Ἀθην. Πολιτ. σελ. 87, 6 «μὴ ἐξεῖναι *μετακινεῖν* μηδ' ἑτέρους θέσθαι». Παρὰ τῷ Ξενοφῶντι φέρεται Λακεδ. Πολιτ. ΙΕ', 1 «τὰς δὲ ἄλλας *πολιτείας* εὕροι ἄν τις *μετακεκινημένας* καὶ ἔτι καὶ νῦν *μετακινουμένας*». Παρατιθέμεθα δὲ καὶ τὸ ἐν τοῖς Ἠθικοῖς τοῦ Πλουτάρχου εἰρημένον σελ. 152 α' «Τοὺς νόμους ὁ Σόλων ἔφη μὴ *μετακινητοὺς* εἶναι. Καὶ ἐγώ, γελοῖος, ἔφην, ὁ λόγος· οὕτω γὰρ

δεῖ πρῶτον ἀποποιεῖσθαι τὸν Λυκοῦργον αὐτοῖς νόμοις ὅλην *μετακινήσαντα τὴν* Λακεδαιμονίων *πολιτείαν*».

Ἐν τοῖς Πολιτικοῖς τοῦ Ἀριστοτέλους ἀπαντᾷ βιβλ. Β', ε', 10 «ἔχει γὰρ συκοφαντίας καὶ *κινήσεις*, ἂν τύχῃ, πολιτείας — ἀποροῦσι γάρ τινες πότερον βλαβερὸν ἢ συμφέρον ταῖς πόλεσι τὸ *κινεῖν τοὺς πατρίους νόμους*» καὶ 12 «πρὸς δὲ τούτοις οὐδὲ *τοὺς γεγραμμένους ἐᾶν ἀκινήτους* βέλτιον» καὶ μετ' ὀλίγα «φανερὸν ὅτι *κινητέοι* καὶ τινὲς καὶ ποτὲ *τῶν νόμων* εἰσίν» καὶ μετ' οὐ πολλὰ «οὐ γὰρ ὅμοιον τὸ *κινεῖν* τέχνην καὶ *νόμον*» καὶ βιβλ. Ε', α', 5 «ἔτι πρὸς τὸ *μέρος τι κινῆσαι τῆς πολιτείας*» καὶ γ', 7 «*κινοῦνται* δ' *αἱ πολιτεῖαι* καὶ ὅταν κτέ.» καὶ ε', 4 «*κινοῦνται* δ' *ὀλιγαρχίαι* ἐξ αὐτῶν καὶ διὰ φιλονικίαν δημαγωγούντων» καὶ ϛ', 7 «ἕως ἂν πάντα *κινήσωσι τὸν κόσμον*». Ἄλλα παραδείγματα κρίνομεν περιττὸν ἐκ τοῦ Ἀριστοτέλους νὰ μνημονεύσωμεν, προστίθεμεν δὲ μόνον τὸ ἐν Ἀθην. Πολιτ. σελ. 73, 9 «*τὴν* δὲ τῶν ἐννέα ἀρχόντων *αἵρεσιν* οὐκ *ἐκίνουν*» (Πρβ. καὶ Σχοιμαννὸν εἰς *Πλουτ. Ἀγ. καὶ Κλεομ.* σελ. 192 καὶ Οὐηβῆρον εἰς *Δημοσθέν. κατ' Ἀριστοκρ.* σελ. 518).

σελ. 81, 4 «τὸν δῆμον ἑλέσθαι μετὰ τῶν προϋπαρχόντων δέκα προβούλων ἄλλους εἴκοσι ἐκ τῶν ὑπὲρ τετταράκοντα ἔτη γεγονότων, οἵτινες ὀμόσαντες ἦ μὴν συγγράψειν ἃ ἂν ἡγῶνται βέλτιστα εἶναι τῇ πόλει συγγράψουσι περὶ τῆς σωτηρίας».

Ἀτοπώτατον εἶνε τὸ *συγγράψουσι*, νομίζομεν δ' ὅτι ἐρρήθη ὑπὸ τοῦ Ἀριστοτέλους (ὡς ἐδηλώσαμεν ἐν τῇ Ἐθνικῇ καλουμένῃ ἐφημερίδι ἔτει 1891, Μαΐου 24) «ὀμόσαντες ἦ μὴν συγγράψειν ἃ ἂν ἡγῶνται βέλτιστα εἶναι τῇ πόλει *συμπράξουσι* περὶ τῆς σωτηρίας». Πρβ. Ξενοφ. Ἀναβ. Ε', δ', 9 «ὑμεῖς τί οἷοί τ' ἔσεσθε ἡμῖν *συμπρᾶξαι περὶ τῆς διόδου*» καὶ Διόδ. Σικελ. Δ', ξγ', 3 «τῷ δ' ἑτέρῳ *συμπρᾶξαι περὶ* ἑτέρας *γυναικός*» καὶ Διονύσ. Ἁλικ. Ῥωμ. Ἀρχ. σελ. 796 «*συνέπραττεν* αὐτοῖς *περὶ καθόδου*». Παρὰ τῷ Πολυβίῳ φέρεται βιβλ. ΚΗ', ζ', 2 «ὑπέσχοντο συμπράξειν ΥΠΕΡ τῶν παρακαλουμένων».

Ἐν τῷ προκειμένῳ ἡμῖν συγγράμματι τοῦ Ἀριστοτέλους σελ. 82,

2 κεῖται «ἅπαντα τὰ λεγόμενα *περὶ τῆς σωτηρίας*». Πρόδηλον δ' ὑπάρχει ὅτι τὰ λεγόμενα περὶ τῆς σωτηρίας λέγονται καὶ χάριν τῆς σωτηρίας.

Τὸ *συμπράττω* συνωνυμεῖ τῷ *συνεργῶ*, τὸ ἐναντίον δὲ δηλοῦται διὰ τοῦ *ἀντιπράττω*. Πρβ. Ἀριστοτέλ. Ῥητορ. Β', ϛ', 9 «ἐάν τε *ἀντιπράττῃ* τις ἐάν τε μὴ *συμπράττῃ* ἐάν τε ἄλλο τι ἐνοχλῇ οὕτως ἔχοντα». Τὸ *ἀντενεργῶ* εἶνε σπανιώτατον, ἐκ μόνου δὲ τοῦ παρηκμακότος ἑλληνισμοῦ ἔχομέν τινα αὐτοῦ μαρτύρια.

Περὶ τοῦ *εἴκοσI ἐκ τῶν* ἐποιησάμεθα λόγον ἐν τοῖς ἔμπροσθεν. Πρβ. καὶ Ῥιμαννὸν ἐν *Rev. de Philol.* Τόμ. Θ', σελ. 60. Περὶ τῆς χρήσεως τοῦ *ἢ μὴν* θὰ διαλάβωμεν ἀκριβῶς ἀλλαχοῦ.

σελ. 82, 1 «οἱ δ' αἱρεθέντες πρῶτον μὲν ἔγραψαν ἐπάναγκες εἶναι τοὺς πρυτάνεις ἅπαντα τὰ λεγόμενα περὶ τῆς σωτηρίας ἐπιψηφίζειν, ἔπειτα τὰς τῶν παρανόμων γραφὰς καὶ τὰς εἰσαγγελίας καὶ τὰς προκλήσεις ἀνεῖλον, ὅπως ἂν οἱ ἐθέλοντες Ἀθηναῖοι συμβουλεύωσι περὶ τῶν προκειμένων· ἐὰν δέ τις τούτων χάριν ἢ ζημιοῖ ἢ προσκαλῆται ἢ εἰσάγῃ εἰς δικαστήριον, ἔνδειξιν αὐτοῦ εἶναι καὶ ἀπαγωγὴν πρὸς τοὺς στρατηγούς».

Ἐν ταύτῃ μὲν τῇ ῥήσει ἐλέχθη ὑπὸ τοῦ Ἀριστοτέλους *ἐπάναγκες εἶναι* ἤτοι *ἀναγκαῖον εἶναι*, ἐν δὲ σελ. 108, 9 *ἐπάναγκες ἐγγράφεται*, τουτέστιν *ἀναγκαίως ἐγγράφεται*. Πρβ. Πολιτικ. Β', γ', 11 «τὸ δὲ τοῖς μὲν εὐπορωτέροις *ἐπάναγκες* ἐκκλησιάζειν *εἶναι*» καὶ 12 «πλὴν οὐ πᾶσιν *ἐπάναγκες ἦν* τοῖς ἐκ τῶν τρίτων ἢ τετάρτων, ἐκ δὲ τοῦ τετάρτου τῶν τετάρτων μόνοις *ἐπάναγκες* τοῖς πρώτοις καὶ τοῖς δευτέροις» καὶ Ε', α', 6 «εἰς δὲ τὴν Ἡλιαίαν *ἐπάναγκές ἐστιν* ἔτι τῶν ἐν τῷ πολιτεύματι βαδίζειν τὰς ἀρχάς» καὶ Β', γ', 13 «αἱροῦνται γὰρ πάντες *ἐπάναγκες*». Μετ' ὀλίγα ἀπαντᾷ «διὰ τὸ ἐνίους μὴ αἱρεῖσθαι τῶν δημοτικῶν *διὰ τὸ μὴ ἐπάναγκες*».

Ἀμφοτέρων τῶν χρήσεων παραδείγματα βλέπει τις ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Γ', σελ. 1400. Παρεχόμεθα δὲ καὶ ἡμεῖς ἔνια.

Ἐπιγρ. παρὰ Διττεμβεργήρῳ 294, 34 «μὴ *ἔστω* δὲ *ἐπάναγκες* λειτουργεῖν τοὺς Μεδεωνίους ἐν Στίρι τὰς ἀρχάς».

Ἐπιγρ. ἐν Μνημοσ. 1852, σελ. 80, 38 «*μὴ ἐπάναγκες ἔστω* Ἱεραπυτνίοις ἀποστέλλειν συμμαχίαν Ῥοδίοις» καὶ σελ. 81, 74 «*μὴ ἐπάναγκες ἔστω* Ῥοδίοις ἀποστέλλειν συμμαχίαν»

Λουκιαν. Κρονοσόλ. 18 «*μὴ ἐπάναγκες ἔστω* πίνειν».

Ἀριστείδ. Τόμ. Β΄, σελ. 388 «οὐδὲ τούτους *ἐπάναγκες ἦν* κακῶς εἰπεῖν».

Ἁρποκρατ. σελ. 155, 22 «*ἐπάναγκες* δ' *ἦν* τοῖς ἔγγιστα γένους τὰς θήσσας ἢ λαμβάνειν πρὸς γάμον κτέ.».

Ἐπιγρ παρὰ Διττεμβεργήρῳ 13, 61 «ἡ δὲ βουλὴ ἐς τὸν δῆμον ἐξενεγκέτω *ἐπάναγκες*» καὶ 112, 75 «ὁ εὔθυνος καὶ οἱ πάρεδροι *ἐπάναγκες* αὐτῶν καταγιγνωσκόντων».

Δημοσθέν. σελ. 718, 55 «ὁ δ' ἔγραψε τοῖς προέδροις *ἐπάναγκες* — προσάγειν». Ὁ Δοβραῖος ἀνέγνω *τοὺς προέδρους*, ὡς εἶνε γεγραμμένον ἐν σελ. 727, 84. Πρβ. καὶ σελ. 706, 21 (Ἴδε καὶ Κόβητον ἐν *Συμμίκτ. Κριτ.* σελ. 550).

Ἡρακλείδ. περὶ Πολιτ. ΙΑ΄ Κορ. «Φείδων — πλείοσι μετέδωκε τῆς πολιτείας νόμον θεὶς ἕκαστον *ἐπάναγκες* τρέφειν ἵππον».

Μύρων Πριην. ἐν Δειπνοσοφ. Ἀθην. σελ. 657 δ΄ «κυνῆν τε γὰρ ἕκαστον φορεῖν *ἐπάναγκες* ὥρισαν καὶ διφθέραν περιβεβλῆσθαι».

Ὠριγέν. Τόμ. Η΄, σελ. 21 καὶ Τόμ. ΚΕ΄, σελ. 211 «εἰ *ἐπάναγκες* προδότης ἦν».

Κλήμ. Ἀλεξ. σελ. 550 «*ἐπάναγκες* μὲν οὖν οὐ κωλυτέον γαμεῖν» καὶ σελ. 944 «ἐν τούτοις εὑρεθησόμενος *ἐπάναγκες*, ἐν οἷς εἵλετο». Ἐν σελ. 202 εἶπεν ὁ Κλήμης *πλὴν τῶν ἐπάναγκες*. Κεῖται δὲ καὶ ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων κεφ. ΙΕ΄, 28 *πλὴν τῶν ἐπάναγκες τούτων* ἢ *πλὴν τούτων τῶν ἐπάναγκες*.

Σωκράτ. Σχολαστ. Ἐκκλ. Ἱστορ. σελ. 638 «πλὴν τῶν *ἐπάναγκες* ὀφειλόντων φυλάττεσθαι».

Ἁρποκρατ. σελ. 107, 12 «ἵν' *ἐπάναγκές* τις μαρτυρῇ». Φέρεται δὲ καὶ γραφὴ *ἐπ' ἀνάγΚΑΙΣ*.

Ὑπάρχει καὶ τύπος *ἐπάναγκον* ἀπαντῶν ἐν Συλλ. Ἐπιγρ. Ἑλλ. Βοικ. 3562, 15 «ἐκπορεύεσθαι τὰς γυναῖκας (ἐπὶ) τὰς ἐξόδους τὰς ἐν τῷ νόμῳ γεγραμμένας *ἐπάναγκον*» καὶ ἐν Ἐπιγρ. Γορτ. Βαυνακκ. Δ΄, 28 καὶ ΙΑ΄, 1 (σελ. 103 καὶ 117). Ὁ Διττεμβεργῆρος ἐν Συλλ.

Ἑλλ. Ἐπιγρ σελ. 657 ἔγραψεν «ἐκπορεύεσθαι τὰς γυναῖκας *ἤ(δη)* τὰς ἐξόδους κτέ.».

Ἐσφαλμένον εἶνε τὸ παρὰ τῷ Πολυδεύκει φερόμενον *ἕρκιος*· εὑρέθη δ' ἡ γραφὴ αὕτη καὶ ἐν τοῖς κώδιξι τοῦ Πλάτωνος Εὐθυδ. σελ. 302 δ'. Πρβ. καὶ Σχόλ. εἰς Πλάτ. σελ. 296 Τευβν. Ἀνεγνώσθη δὲ καὶ παρ' ἄλλοις πλημμελῶς *ἑρκίου* ἀντὶ τοῦ *ἑρκείου* (Ἴδε Δινδόρφιον ἐν *Λεξικ. Σοφοκλ.* σελ. 191. Πρβ. καὶ Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Ἀποσπασμάτων σελ. 131). Ὅτι διὰ διφθόγγου ἐξεφέρετο τὸ περὶ οὗ ὁ λόγος ἐπίθετον ἀποδείκνυται ἐκ τοῦ ἐν τῇ Ὀδυσσείᾳ τοῦ Ὁμήρου Χ, 335:

ἑρκείου ἵζοιτο τετυγμένον, ἔνθ' ἄρα πολλά.

καὶ ἐκ τοῦ ἐν ἀποσπάσματι Κρατίνου τοῦ νεωτέρου παρ' Ἀθην. σελ. 460 ϛ':

ἑρκεῖος, ἔστι φράτριος, τὰ τέλη τελῶ.

Εὕρομεν δὲ καὶ ἐν ἐπιγραφῇ Ἀττικῇ (Σύλλ. Ἐπιγρ. Ἀττ. Β', 1664) «Διὸς *ἑρκείου*». Καὶ ὑπὸ τοῦ Ἡροδότου δ' ἐλέχθη βιβλ. Ϛ', 68 «τοῦ *ἑρκείου* Διός» (Ἴδε Βρεδόβιον ἐν *Quaest. Crit. de Dial. Her.* σελ. 180 καὶ Δινδόρφιον ἐν *Comment. de Dial. Her.* σελ. IX). Ὁμοίως τῷ ἐκ τοῦ *ἕρκος* παραχθέντι *ἕρκειος* εἶνε ἐσχηματισμένα τάδε.

ἕλειος ἐκ τοῦ *ἕλος*.

ἔτειος ἐκ τοῦ *ἔτος*. Ὁ Σουΐδας λέγει «*Ἔτειον*: ἐνιαύσιον· *ἐπέτειον* δὲ τὸ μὴ μόνιμον ἀλλὰ πρὸς ἐνιαυτὸν ἀκμάζον. Καὶ *ἔτειος* καρπὸς καὶ καιρός». Ἐγράφη δὲ καὶ ἐσφαλμένως «ὡρῶν *ἐτίων*» ἀντὶ τοῦ *ἐτείων* (Ἴδε Κόβητον ἐν *Λογ. Ἑρμ.* Τόμ. Α', σελ. 215).

θέρειος ἐκ τοῦ *θέρος*.

(*κήτειος* ἐκ τοῦ *κῆτος*).

(*κτήνειος* ἐκ τοῦ *κτῆνος*. Ἴδε Λοβέκκιον εἰς *Σοφοκλ. Αἴ.* σελ. 99 γ').

ὀνείδειος ἐκ τοῦ *ὄνειδος*.

ὄρειος (*οὔρειος*) ἐκ τοῦ *ὄρος* (*οὖρος*). Τοῦ ἐπιθέτου τούτου παρέχουσιν ἡμῖν μαρτύρια ἄλλοι τε καὶ ὁ Πολυδεύκης βιβλ. Ε', 14 «ἔστι θηρία τὰ μὲν *ὄρεια* ὡς ἐπὶ τὸ πλεῖστον, ὡς λέοντες, τὰ δὲ *ἕλεια*, ὡς σύες». Ἐν τῷ Λεξικῷ τοῦ Σουΐδα κεῖται «*Ὅριον*: ὁ ὁρισμός· *ὄρειον* δὲ τὸ ἀπὸ τοῦ ὄρους». Πρβ. καὶ Ψευδηρῳδιαν. Ἐπιμερ. σελ. 173 Βοισσ. «Τὰ παρὰ τὸ ὄρος ὁ βουνός διφθογγίζονται, οἷον *ὄρειος* τόπος, *ὑπόρειος* οἶκος καὶ τὰ ὅμοια. Τὰ δὲ παρὰ τὸ ὅρος ὁ ὁρισμός ἰωτίζονται· μεθόριον οὐδετέρως, συνόριον, ὁμόριον καὶ τὰ ὅμοια» (Ἴδε Βάστιον ἐν *Ἐπιστ. Κριτ.* σελ. 22).

σκύτειος ἐκ τοῦ *σκῦτος*. Μανέθ. Δ', 321 «*σκυτείῃ* τέχνῃ».

σπάτειος ἐκ τοῦ *σπάτος*. Ἡσύχ. «*Σπατείων*: δερματίνων».

στήθειος ἐκ τοῦ *στῆθος*. Εὐστάθ. σελ. 1189, 54 «*στήθειοι* ἱμάντες» (Πρβ. Θησ. Στεφ. Τόμ. Ζ', σελ. 747).

τέλειος ἐκ τοῦ *τέλος*. Λέγεται καὶ *τέλεος*, *τελέως*. Σχολ. Ἰλ. Τόμ. Α', σελ. 238, 12 «*Τέγεοι* ὡς *τέλεοι*· τέγος γάρ, ὡς τέλος, καὶ *τέγειος*, ὡς *τέλειος*». Εὐστάθ. σελ. 640, 2 «Γίνεται δὲ τὸ *τέγεος* ἀπὸ τοῦ τέγος, *τέγειος* καὶ ἀποβολῇ *τέγεος*, ὡς *τέλος τέλειος τέλεος*».

Ὁ Λοβέκκιος ἐν τῷ εἰς Σοφοκλέους Αἴαντα Ὑπομνήματι σελ. 99 ἐκδ. γ' ποιεῖται μνείαν καὶ ἐπιθέτου *θάλειος*. Πρβ. Θησ. Στεφ. Τόμ. Δ', σελ. 236.

Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 149, 7 «Ὅτι δὲ ἐν πολλοῖς ἡ παραλληλία φεύγεται δηλοῖ καὶ ὁ *τεμένιος*, ὅς, δέον ὂν διφθόγγῳ παραλήγεσθαι κατὰ τὸν κανόνα τοῦ *κήτειος*, *κήδειος*, *ἐπιτήδειος* (γρ. *ἐπικήδειος*) καὶ τῶν ὁμοίων, ὅμως, ἵνα μὴ ἐπάλληλα εἴη τὰ τρία Ε, ἐγράφη διὰ μόνου τοῦ Ι. Σοφοκλῆς· *τεμενίαν τε φυλλάδα*» καὶ σελ. 878, 35 «Ὡς δὲ καὶ ἐν ἄλλοις τὸ τῶν στοιχείων ἀλλεπάλληλον διακόπτεται δηλοῦται καὶ ἐν τῷ *τεμένιος*, ὅπερ ἐχρῆν μὲν διὰ τῆς ΕΙ διφθόγγου γραφῆναι κατὰ τὸ *τέγος τέγειος* καὶ *ἐπιτέγειος*, ἐξέπεσε δὲ τοῦ Ε οὐ λόγῳ κανόνος, ἀλλ' ἵνα μὴ ἐπαλληλίζοιτο τὰ τρία Ε» καὶ σελ. 1185, 25 «*Κήδειος* δὲ οὗ κήδεταί τις, ἐκ τοῦ κῆδος· ἡ δὲ γραφή, ὡς ὁ ἐν Ὀδυσσείᾳ *κήτειος*» καὶ σελ. 1343, 25 «Ἐν οἷς τὸ *γήρειον* ἐκ τοῦ γῆρος γίνεται οὐδετέρου ἑνικοῦ ὀνόματος

ὁμοίως τῷ *κῆτος κήτειος*, *κῆδος κήδειος* καὶ τοῖς τοιούτοις» καὶ σελ. 1697, 19 «*Κήτειοι* δὲ κατὰ μὲν Ἀρίσταρχον οἱ μεγάλοι παρὰ τὸ κῆτος κατὰ ἀναλογίαν τοῦ *κῆδος κήδειος* καὶ τῶν ὁμοίων· ἐν οἷς καὶ ἀπὸ τοῦ *γῆρος* ἀκάνθης ἐξάνθημα παρὰ τῷ Ἀράτῳ τὸ *γήρειον*, ὡς ἐν τοῖς εἰς τὴν Ἰλιάδα διεσαφήθη. Ἐν δὲ τοῖς τοιούτοις εἰ ζητεῖται διὰ τί τὸ *σκότιος*, οἷον *σκότιον δέ ἑ γείνατο μήτηρ*, ἔτι δὲ καὶ τὸ *σκοτίους ἀπιόντας διὰ τῆς πολεμίας*, οὐκ ἐγράφησαν διὰ τῆς ΕΙ διφθόγγου ὡς ἀπὸ τοῦ *σκότος* ὁμοίως τῷ *κῆτος κήτειος* καὶ τοῖς κατ' αὐτό, ῥητέον ὅτι γίνεται μὲν *σκότιος* ἐκ τοῦ *σκότος*, πλὴν οὐκ ἐκ τοῦ οὐδετέρου ἀλλὰ τοῦ Ἀττικωτέρου ἀρσενικοῦ κατὰ τὸ *δόλος δόλιος*, *νόμος* (γρ. ἴσ. *νομός*) *νόμιος*». Περὶ τοῦ *κήτειος* ἴδε Λέρσιον ἐν τῷ: *De Arist. Stud. Hom.* σελ. 152-3 ἐκδ. β' καὶ Λουδούϊχον ἐν τῷ: *Arist. Hom. Textkr.* Τόμ. Α', σελ. 592, 10. Ἔτι δὲ Λεξ. Ὁμηρ. Ἐβελ. Τόμ. Α', σελ. 791. Τὸ *σκοτίους ἀπιόντας διὰ τῆς πολεμίας* κεῖται καὶ ἐν τῷ Λεξικῷ τοῦ Σουίδα λ. *ἀναρριπτεῖν*· εἶνε δ' εἰλημμένον ἐκ τῆς Ῥωμαϊκῆς Ἀρχαιολογίας Διονυσίου τοῦ Ἁλικαρνασσέως σελ. 1747, ἔνθα φέρεται κατὰ τἀντίγραφα «*σκότους* ἀπιόντας διὰ τῆς πολεμίας». Ἡ ὀρθὴ γραφὴ εἶνε «*σκοταίους* ἀπιόντας διὰ τῆς πολεμίας», ὡς παρετήρησεν ὁ Τούπιος ἐν *Διορθώσ.* Τόμ. Α', σελ. 48. Σημειωτέον δ' ὅτι μνημονεύεται ὑπὸ τοῦ Εὐσταθίου καὶ γνώμη, καθ' ἣν εἶνε ῥηματικὸν τὸ *κήδειος* σελ. 1293, 49 «Τινὲς δὲ προπαροξύνουσι λέγοντες ὅτι, ὡς καθαρεύω καθάρειος, ἐπιτηδεύω ἐπιτήδειος, οὕτω *κηδεύω κήδειος*, ἐξ οὗ καὶ τὸ *ἐπικήδειος*· ἀποβληθέντος δὲ τοῦ Ι, ἔμεινε *κήδεος*». Πρβ. καὶ σελ. 779, 53 «Ἐκ δὲ τοῦ κηδέω καὶ πλεονασμῷ τοῦ Υ κηδεύω ὁ, ὡς ἐρρέθη, *κηδεὸς* καὶ ὁ *ἐπικήδειος* δέ». Λέγει δ' ὁ Εὐστάθιος ὅτι ὑπ' Ἀριστοφάνους τοῦ Βυζαντίου ἐνομίζετο τὸ *ἠθεῖος* παράγωγον τοῦ *ἦθος* σελ. 659, 46 «Ἐν δὲ τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους κεῖται καὶ ὅτι ἠθείους τοὺς ὁμοτρόπους φαμὲν τῷ τὰ αὐτὰ ἤθη ἔχειν καὶ ἐν ὁμοίοις ἤθεσι καταγεγονέναι» (Ἴδε Ναύκιον ἐν τῇ συναγωγῇ τῶν Ἀριστοφάνους τοῦ Βυζαντίου σελ. 159).

Περὶ τοῦ τόνου τοῦ ἐκ τοῦ *ἕρκος* παρηγμένου ἐπιθέτου γράφει ὁ Εὐστάθιος σελ. 1930, 28 «Καὶ ἔστι τὸ *ἑρκεῖος* ὅμοιον τῷ *ἑταιρεῖος* κατὰ τὴν γραφὴν τῆς παραληγούσης, ὡς ἀπὸ τοῦ *ἕρκος ἕρκεος ἑρκέϊος ἑρκεῖος*, καθὰ Κέϊος Κεῖος ἀπὸ Κέω τῆς νήσου. Χρῆσις δὲ *ἑρκείου Διὸς* καὶ παρὰ Σοφοκλεῖ, ἔνθα *ἑρκεῖον Δία* ἐκεῖνος τοὺς ἐν οἴκῳ

πάντας δηλοῖ». Φέρεται δὲ καὶ ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Β', σελ. 227, 5 Δινδ. «*Ὀνείδειον*: ὡς *τέλειον* καὶ *ὄρειον*. Οὕτως γὰρ ἐκπίπτει καὶ τὰ τῆς παραγωγῆς, εἰ μὴ τὸ Α παραλήγοι ἐν τῷ εἰς ΟΣ λήγοντι οὐδετέρῳ ἢ δύο σύμφωνα, ὧν τὸ μὲν ληκτικὸν εἴη τῆς πρώτης συλλαβῆς, τὸ δὲ ἀρκτικὸν τῆς δευτέρας, οἷον *ἕλος ἕλειος*· διὰ τῆς ΕΙ διφθόγγου ἡ παραγωγὴ καὶ προπαροξύνεται· οὐ γὰρ ἦν ἐν τῷ οὐδετέρῳ τὸ Α· *τέλος τέλειος*, *ὄρος ὄρειος*. Οὕτως *ὄνειδος ὀνείδειος*. Παρεφυλάξατο δὲ τὰ δύο σύμφωνα διὰ τὸ *Ἀργεῖος* καὶ τὸ *ἑρκεῖος* καὶ τὸ Α, ἐπεὶ φιλεῖ διὰ τοῦ Ι γράφεσθαι ἡ παραγωγή· *πελάγιος*, *πάγιος*, *Θάλπιος*». Περὶ τοῦ *Ἀργεῖος* ἀποφαίνεται Στέφανος ὁ Βυζάντιος σελ. 113, 4 «Τὸ ἐθνικὸν πασῶν *Ἀργεῖος* οὐ παρὰ τὸ *Ἄργος* οὐδέτερον· ἦν γὰρ (γρ. *ἦν γὰρ ἂν*) διὰ τοῦ Ι· ἀλλὰ παρὰ τὸν *Ἄργον* τὸν κτίστην». Ὑπάρχει καὶ ὄνομα *Ἕρμειος*, περὶ οὗ γράφει ὁ ἐθνικολόγος σελ. 277, 20 «*Ἕρμος*, ὡς *ἕρκος*, οὐδετέρως — ὁ δημότης *Ἕρμειος*» (Ἴδε Λοβέκκιον εἰς *Σοφ. Αἴ.* σελ. 99 ἐκδ. γ'). Ὀρθῶς τὸ *πάγιος* μετεβλήθη ὑπὸ τοῦ Λοβεκκίου εἰς τὸ *ἅγιος*. Ὁ Εὐστάθιος λέγει σελ. 1144, 36 «Τῶν τινες δὲ παλαιῶν κατὰ τὸ *ἅγιον* κλίνουσιν αὐτὸ (τὸ *ἄλγιον*), καθὰ δηλοῦσιν ἐν τῷ κανόνι τῶν διὰ τοῦ ΙΟΣ ἀρσενικῶν ὀνομάτων, ἃ γίγνονται ἀπὸ τῶν εἰς ΟΣ οὐδετέρων, ὧν προηγεῖται τὸ Α (γρ. ἴσ. : *ἂν προηγῆται* τὸ Α)· βούλονται γὰρ ὡς ἀπὸ τοῦ *ἄγος* καὶ *πέλαγος* καὶ *τέναγος* εἶναι τὸ *ἅγιον*, τὸ *πελάγιον*, τὸ *τενάγιον*, οὕτω καὶ *ἄλγος ἄλγιον*». Ἡμαρτημένη εἶνε ἡ ἐκφορὰ *πελάγειος* (Ἴδε Μελλῆρον εἰς *Ἡρακλ.* σελ. 8. Πρβ. καὶ Θησ. Στεφ. Τόμ. Ϛ', σελ. 684 καὶ Περιοδ. Ἀθήν. Τόμ. Ϛ', σελ. 485).

Τὸ ἐπίθετον *τεμένιος*, περὶ οὗ ἐγένετο λόγος ὑπὸ τοῦ Λοβεκκίου ἐν τοῖς Παραλειπομένοις σελ. 22, ἀπαντᾷ καὶ ἐν τῇ ὑπὸ Διττεμβεργήρου γενομένῃ Συλλογῇ Ἑλληνικῶν Ἐπιγραφῶν σελ. 499 «οἶκον *τεμένιον* οἰκοδομήσασθαι». Πρβ. καὶ σελ. 552 «τῶν ἄλλων θεῶν τῶν *(ἐντε)μενίων*».

Παρεστήσαμεν ὅτι διὰ διφθόγγου ἐξεφέρετο τὸ ἐκ τοῦ *ἕρκος* παραχθὲν ἐπίθετον. Μνημονεύεται δὲ καὶ ἐπίθετον *μεσέρκειος* ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Δ', σελ. 121, 15 «ἐπεὶ ἐν μέσῳ τοῦ οἴκου ἑρκείου Διὸς βωμὸς ἵδρυται, *μεσέρκειον* καλοῦσι τὸν Δία». Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου εἶνε γεγραμμένον «*ΜεσέρκΙον*: Διὸς ἐπίθε-

τον», ὃ πλημμελὴς ὑπό τινων ἐκφορὰ ἐνομίσθη τοῦ *μεσέρκΕΙον*, εὐλόγως κατὰ τὴν ἡμετέραν γνώμην. Ἐμφερῆ τῷ *μεσέρκειος* ὑπάρχουσι τὸ παρὰ τῷ Σουίδᾳ κείμενον «*Μακρέτειος* : ὁ πολυχρόνιος» καὶ τὸ ἐν τοῖς εἰς Ἡσίοδον Σχολίοις σελ. 5, 26 καὶ σελ. 364, 11 Λιψ. *κακοθέρειος*. Πρβ. καὶ *ἐπέτειος*, *προτέλειος*, *παρόρειος-ὑπόρειος*. Ὁ Εὐστάθειος γράφει σελ. 881, 30 «Ἐκ δὲ τοῦ λοιποῦ *τέλους*, ὃ σημαίνει τὸν γάμον, τὰ *προτέλεια*, ὧν χρῆσις μὲν μόνη παρὰ Αἰλίῳ Διονυσίῳ, ἑρμηνεία δὲ παρὰ Παυσανίᾳ εἰπόντι ὅτι προτέλεια ἡ πρὸ τῶν γάμων θέα, ἴσως τὰ λεγόμενα θεώρητρα» (Πρβ. καὶ Σχολ. Πλάτ. Συμπ. σελ. 205 α΄). Πλημμελῶς ἔχει τὸ ἐν τῷ κώδικι τοῦ Ἡσυχίου «*Ὑπόρlα* : τὰ ὑπὸ τὰ ὄρη» (Ἴδε καὶ Λοβέκκιον ἐν *Παραλειπομ.* σελ. 247). Ἐν τῷ Λεξικῷ τοῦ Σουίδα κεῖται τὸ ὄνομα *προτέγειον*, ὁ δ' Εὐστάθιος ποιεῖται μνείαν τοῦ *ἐπιτέγειος*· ἀλλ' ἐν τῇ Συλλογῇ τῶν Ἀττικῶν Ἐπιγραφῶν Τόμ. Γ΄, σελ. 84, 290 εὕρομεν «*ἥρωος ἐπιτεγίου*». Πρβ. *ἐντείχιος*, *ὑπερτείχιος*, *μεσοτείχιος*, *ὑποβένθιος*, *ἐπιστήθιος*, *περιστήθιος* (Ἴδε Λοβέκκιον ἐν *Παραλειπομ.* σελ. 246). Παρὰ τῷ Εὐσταθίῳ ἀπαντᾷ σελ. 1328, 32 «*προστηθείου* γυναικείου κανόνος». Ἐν τέλει παρατηροῦμεν ὅτι παρὰ τῷ Ὁμήρῳ φέρεται ἐπίθετον *ἐϋτείχεος*, *πόλιν Τρωὴν ἐϋτείχεον ἐξαλαπάξαι* (Ἰλ. Α, 129), *Τροίην ἐϋτείχεον ἐξαλαπάξαι* (Θ, 241), *Ἴλιον ἐκπέρσαντ' ἐϋτείχεον ἀπονέεσθαι* (Ἰλ. Β, 113 καὶ 288 καὶ Ε, 716 καὶ Ι, 20). Ἀλλ' ὁ πολὺς Ναύκιος ἐν τῇ ἐκδόσει τῆς Ἰλιάδος Τόμ. Α΄, σελ. XIX μετετύπωσε τὸ *ἐϋτείχεον* εἰς τὸ *ἐϋτειχέα* (Ἴδε καὶ Ἑρουερδῆνα ἐν *Μνημοσ.* 1886, σελ. 50).

Κακῶς εἶνε ὑπὸ τοῦ Βεκκήρου καὶ ἄλλων παρὰ τῷ Πολυδεύκει ἐκδεδομένον «*τὸν δῆμον* πόθεν» ἀντὶ τοῦ «*τῶν δήμων* πόθεν», ᾧ ὅμοια εἶνε τὸ «*τῶν δήμων* Ἀλωπεκῆθεν» (Πλούτ. Ἀριστείδ. Α΄, 1. Διογ. Λαέρτ. Β΄, 18) καὶ τὸ «*τῶν δήμων* Οἴηθεν» (Διογ. Λαέρτ. Δ΄, 16). Πρβ. καὶ «*τῶν δήμων* ἦν ἐκ Κολωνοῦ» (Σχολ. Ἀριστοφ. σελ. 233, 19 Διδ.). Λέγεται δ' ἐν τῇ Ἑλληνικῇ καθόλου γλώσσῃ καὶ *τῶν δήμων Πιτθεύς*, *τῶν δήμων Θορίκιος*, κτλ., οἷον

Πλάτ. Εὐθύφρ. σελ. 2 β΄ «ἔστι δὲ *τῶν δήμων* Πιτθεύς».

Δημοσθέν. σελ. 1003, 30 «πόθεν νῦν Ἀκαμαντίδος φυλῆς γέγονας καὶ *τῶν δήμων* Θορίκιος κτέ.;».

Πλούτ. Θεμιστ. Α΄, 1 «Νεοκλέους — Φρεαρρίου *τῶν δήμων*» καὶ

Περικλ. Γ', 1 «*τῶν* δὲ *δήμων* Χολαργεύς» καὶ Κίμ. Δ', 2 «Ἁλιμούσιος γέγονε *τῶν δήμων*». Ὁ Κοραῆς γράφει ἐν τῇ ἐκδόσει τῶν Παραλλήλων τοῦ Πλουτάρχου Μέρ. Α', σελ. 435 «Τὸν δῆμον: Δ. Γ. Τῶν δήμων· ὃ καὶ ἀττικώτερον οὐκ ὀλίγοις δοκεῖ» (Πρβ. καὶ σελ. 455).

Ψευδοπλούτ. Ἠθικ. σελ. 832 β' «*τῶν* δὲ *δήμων* Ῥαμνούσιος» καὶ σελ. 834 β' «*τῶν* δὲ *δήμων* Κυδαθήναιος (Κυδαθηναιεὺς) ἢ Θορεύς» καὶ σελ. 840 α' «*τῶν* δὲ *δήμων* Κοθωκίδης» καὶ σελ. 841 β' «*τῶν δήμων* δὲ Βουτάδης» καὶ σελ. 844 α' «*τῶν* δὲ *δήμων* Παιανιεύς». Γραπτέον δὲ καὶ σελ. 848 δ' «*τῶν* δὲ *δήμων* Κολλυτεύς» ἀντὶ τοῦ «*τὸν* δὲ *δῆμον* Κολλυτεύς» (Ἴδε Βιογρ. Οὐεστερμ. σελ. 312).

Διογέν. Λαέρτ. Β', 48 «*τῶν δήμων* Ἐρχιεύς» καὶ Γ', 3 «ἦν δὲ *τῶν δήμων* Κολλυτεύς» καὶ Δ', 1 «*τῶν* μὲν *δήμων* Μυρρινούσιος ἦν» καὶ 21 «Θριάσιος δὲ *τῶν δήμων*» καὶ Ι', 1 «*τῶν δήμων* Γαργήττιος».

Ἀθήν. σελ. 407 ε' «*τῶν δήμων* Ἀχαρνεὺς ὁ Τηλέμαχος». Παρὰ τῷ Εὐσταθίῳ εἶνε γεγραμμένον σελ. 1394, 26 «ἀλλά τινος Ἀττικοῦ Τηλεμάχου, Ἀχαρνέως *τὸν δῆμον*».

Ἡσύχ. Μιλήσ. σελ. 17, 15 Φλαχ. «*τῶν δήμων* Ῥαμνούσιος» καὶ σελ. 49, 8 «*τῶν δήμων* Παιανιεύς» καὶ σελ. 65, 6 «Γαργήττιος *τῶν δήμων*» καὶ σελ. 87, 2 «*τῶν δήμων* Μαραθώνιος» καὶ σελ. 235, 6 «*τῶν δήμων* Σφήττιος».

Βιογρ. Οὐεστερμ. σελ. 155, 2 «*τῶν δήμων* Κυδαθηναιεύς» καὶ σελ. 192, 147 «*τῶν δήμων* Ἀχερδούσιος» καὶ σελ. 265, 1 «*τῶν δήμων* Κοθωκίδης» καὶ σελ. 269, 34 «ἦν δὲ *τῶν δήμων* Αἰσχίνης Κοθωκίδης». Ἀλλὰ σελ. 159. 2 «*τὸν* δὲ *δῆμον* Κυδαθήναιος» καὶ σελ. 235, 2 «Ῥαμνούσιος *τὸν δῆμον*» καὶ σελ. 303, 20 «*τὸν* μὲν *δῆμον* Παιανιεύς» καὶ σελ. 117, 1 «Ἐλευσίνιος *τὸν δῆμον*». Ὁ Δινδόρφιος ἐν τῇ ἐκδόσει τῶν εἰς Αἰσχύλον Σχολίων σελ. 1 ἔγραψεν «Ἐλευσίνιος *τῶν δήμων*», ἐσημειώσατο δὲ «τῶν δήμων M. Legebatur τὸν δῆμον ex apographis: quae usitata hujus formulae in recentibus codicibus interpolatio est».

Ἁρποκρατ. σελ. 23, 2 «Ἀναγυράσιος *τῶν δήμων*». Ὁ Δινδόρφιος ποιεῖται τήνδε τὴν παρατήρησιν «τῶν δήμων duo optimi codi-

ces Suidae. Legebatur τὸν δῆμον, quod est etiam in Epitome et Seg. p. 378, 23»

Ἡσύχ. «Μελιτεὺς κάπρος: *τῶν* γὰρ *δήμων* Μελιτεύς ἐστι». Ὁ Μουσοῦρος ἔγραψε «*τὸν* γὰρ *δῆμον* Μελιτεύς ἐστι». Πρβ. Σχολ. Λουκιαν σελ. 186 Ἰακ. «*τὸν δῆμον* Μελιτεύς». Ἀλλ' ἡ ὑγιῶς ἔχουσα ἐκφορὰ εἶνε «*τῶν δήμων* Μελιτεύς».

Σχολ. Ἀριστοφ. σελ. 18, 3 Διδ. «τὸν Διομειᾶ *τῶν δήμων* ὄντα» καὶ σελ. 277, 49 «*τῶν* δὲ *δήμων* Χολαργεύς» καὶ σελ. 292, 5 «Στειριεὺς *τῶν δήμων*» καὶ σελ. 300, 16 «Ἐλευσίνιος *τῶν δήμων*». Ὁ Βλαϋδέσιος εἴκασε «τὸν Διομειᾶ *τὸν δῆμον*» ἐν τῇ ἐκδόσει τῶν Ἀχαρνέων σελ. 328 καὶ «*τὸν* δὲ *δῆμον* Χολαργεύς» καὶ «Ἐλευσίνιος *τὸν δῆμον*» ἐν τῇ τῶν Βατράχων σελ. 206 καὶ 377. Οὐδὲν δ' ἐν σελ. 309 λέγει περὶ τοῦ «Στειριεὺς *τῶν δήμων*». Ἐν τῇ ἐκδόσει τῶν Ἀχαρνέων σελ. 386, 855 παρατιθέμενος τὸ τοῦ Πλουτάρχου Περικλ. Γ', 1 γράφει «*τὸν* δὲ *δῆμον* Χολαργεύς».

Σχολ. Πλάτ. Ἀπολ. σελ. 23 ε' «*δήμων* Θορίκιος». Σημειώσεως ἀξία εἶνε ἡ ἄνευ τοῦ ἄρθρου χρῆσις τοῦ *δήμων*.

Παρὰ τῷ Ἡροδότῳ κεῖται βιβλ. Θ', 73 «ἐκ δήμου Δεκελεῆθεν» καὶ βιβλ. Ε', 92, β' «δήμου μὲν ἐὼν ἐκ Πέτρης». Ἀνέγνω δ' ὁ Κοίνιος «*ἐὼν* δήμου Δεκελεῆθεν». Πρβ. βιβλ. Γ', 55 «δήμου γὰρ τούτου ἦν».

Ἐν ἀποσπάσματι τοῦ Ἀντιφάνους παρ' Ἀθην. σελ. 329 ε' φέρεται «*δήμου* δ' Ἁλαιεύς ἐστιν». Λέγει δὲ περὶ αὐτοῦ ὁ Ἑρουερδὴν ἐν *Μνημοσ.* 1886, σελ. 176 «*δήμου* δ' Ἁλαιεύς ἐστιν, Herod. V 92 δήμου μὲν ἐκ Πέτρης ἐών et IX 73 *δήμου* Δεκελεῆθεν. Ex Atticis scriptoribus nullum praeter h. l. novi exemplum, nec Herodotea sunt plane similia. Propterea olim proposui *τῶν δήμων* δ' Ἁλαιεύς ἐστιν». Τῷ Βλαϋδεσίῳ φαίνεται ἐν *Advers. in Com. Gr. Fr.* Μέρ. Α', σελ. 76 προκριτώτερον τὸ «*δῆμον* δ' Ἁλαιεύς ἐστιν». Τὸν ἑνικὸν ἀριθμὸν *δήμου* εὕρομεν καὶ ἐν τοῖς Βιογράφοις τοῦ Οὐεστερμαννοῦ σελ. 127, 11 «*δήμου* Κολωνῆθεν» καὶ ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις σελ. 88, 23 «*δήμου* δὲ ἦν ὁ Χαιρεφῶν Σφήττιος», ἀνθ' οὗ εἴκασε *δῆμον* ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τῶν Νεφελῶν σελ. 254.

Ὁ Εὐστάθιος εἶπεν *ἐκ τῶν δήμων* σελ. 1610, 57 «Δημοσθένης

Ἕλλην ὢν κατὰ γαῖαν, Ἀθηναῖος δὲ κατὰ πόλιν, Παιανιεὺς ἦν *ἐκ τῶν δήμων*». Ἐν δὲ τοῖς εἰς Δημοσθένη Σχολίοις ἀπαντᾷ *ἀπὸ δήμου* σελ. 598, 20 «Νικόδημός τις *ἀπὸ δήμου* Ἀφιδναῖος κτέ.». Ἀνέγνω δ' ὁ Βεκκῆρος καὶ παρὰ τῷ Ἁρποκρατίωνι σελ. 40, 16 Δινδ. «Σωφίλου μὲν υἱός, *ἀπὸ τοῦ δήμου* δὲ Ῥαμνούσιος» ἀντὶ τοῦ *ἀπὸ τῆς φυλῆς*.

Τῶν φιλολόγων τινὲς δοξάζουσιν ὅτι ὀρθῶς λέγεται καὶ κατὰ γενικὴν *τῶν δήμων* καὶ κατ' αἰτιατικὴν *τὸν δῆμον*. Μενάγιος ἐν *Observat. in Diog. Laert.* Τόμ. Α', σελ. 328 Ὑδν. «Τὸν δῆμον Ἀλωπεκῆθεν: Ceterae editiones τῶν δήμων. Utrumque recte. Sed τῶν δήμων est Ἀττικώτερον. Vide Casaubonum ad Athenaeum IX. 18». Κείλιος ἐν *Specim. Onomatol. Gr.* σελ. 102 «In vita Themistoclis I. 3. Sintenisius nuper edidit *Φρεαρρίου τῶν δήμων* ἐκ τῆς Λεοντίδος φυλῆς. Bene fortasse restitutum τῶν δήμων; v. Sintenis. edit. min. p. 3. b.; libri *τὸν δῆμον* quod nec ipsum falsum est, cf. Westermann. ad Vit. X. Orat. Addend. p. 100».

Ἄλλοι δ' ὅμως ἰσχυρίζονται, οἷς συμφωνοῦμεν καὶ ἡμεῖς, ὅτι μόνης τῆς γενικῆς *τῶν δήμων* χρῆσις ὑπὸ τῶν Ἑλλήνων ἐγίνετο, οὐχὶ δὲ καὶ τῆς αἰτιατικῆς *τὸν δῆμον*. Ἴδε Δινδόρφιον εἰς *Δημοσθ.* Τόμ. Ζ', σελ. 1166-7. Πρβ. καὶ Σχαιφῆρον εἰς *Δημοσθ.* Τόμ. Ε', σελ. 20 καὶ Βερνάρδυν ἐν *Παραλειπ. Συντ. Ἑλλην.* σελ. 63. Ὁ Κόβητος γράφει ἐν *Var. Lect.* σελ. 385 «In vita *Periclis* cap. 3. scribit: Περικλῆς γὰρ ἦν τῶν μὲν φυλῶν Ἀκαμαντίδης, τῶν δὲ δήμων Χολαργεύς, quo modo nemo umquam veterum est locutus. Forma Attica apparet in *Aristide* cap. 1. Ἀριστείδης ὁ Λυσιμάχου φυλῆς μὲν ἦν Ἀντιοχίδος, τῶν δὲ δήμων Ἀλωπεκῆθεν, ubi vulgata lectio erat τὸν δὲ δῆμον tralaticio errore, quem numquam commiserunt veteres, at saepe iis Graeculi affricant. Quam magna copia locorum est ubi ita scribitur ut in Platonis *Euthyphrone* pag. 2. B. ἔστι δὲ τὸν δῆμον Πιτθεύς, in hoc loco et similibus omnibus corrigendum esse τῶν δήμων et ratio docet et boni libri saepissime confirmant. Recte nunc editur in *Themistocle* cap. 1. Νεοκλέους Φρεαρρίου τῶν δήμων, nisi quod Athenienses τῶν δήμων fere præponere solent. Vide Dindor-

fium ad haec verba Demosthenis p. 1003, 15. εἰπέ μοι, Βοιωτέ, πόθεν νῦν Ἀκαμαντίδος φυλῆς γέγονας καὶ τῶν δήμων Θορίκιος; ubi omnes codices τὸν δῆμον de more exhibent, unus S, ut solet, veram lectionem servat solus».

Τὸ παρὰ τῷ Ἀριστοτέλει *πόθεν τῶν δήμων* εἶνε ὁμοίως εἰρημένον τῷ «*πόθεν γῆς* ἦλθες;» (Εὐριπ. Ἴων. 258) καὶ ἄλλοις τοιούτοις. Πρβ. *τηλοῦ τῶν ἀγρῶν*, *πόρρω τέχνης*, κτλ. Ὡς δὲ λέγεται *πόθεν τῶν δήμων*, οὕτω καὶ *τῶν δήμων Ἀλωπεκῆθεν*, κτλ. Κατὰ τοῦτο δὲ νοοῦνται καὶ τὸ *τῶν δήμων Πιτθεύς*, *τῶν δήμων Θορίκιος*, κτλ. Ὁ Σχάνζιος νομίζει ἐν *Samml. Ausgew. Dial. Plat.* Τόμ. Α', σελ. 19 ὅτι τὸ *δήμων* ἰσοδυναμεῖ τῷ *δημοτῶν*· ὅθεν ἐξηγεῖται τὸ *τῶν δήμων Πιτθεύς* διὰ τοῦ: *von den Demoten ist er ein Pitthier*. Δυσπαράδεκτος φαίνεται ἡμῖν ἡ γνώμη τοῦ Σχανζίου.

Ἐπιστάσεως ἀξία εἶνε ἡ περὶ τὴν σύνταξιν ποικιλία «πρῶτον μὲν τίς *σοι* πατήρ — μετὰ δὲ ταῦτα εἰ ἔστιν *αὐτῷ* Ἀπόλλων κτέ.». Ἀλλ' οὐδὲν περὶ αὐτῆς ἐν τῷ παρόντι λέγομεν.

σελ. 139, 9 «καὶ πρότερον μὲν εἰς ἐνέβαλλε τὴν (ψ)ῆφον, νῦν δ' ἀνάγκη πάντας. ἔστι δὲ ψηφίζεσθαι περὶ αὐτῶν, ἵνα ἄν τις πονηρὸς ὢν ἀπαλλάξῃ τοὺς κατηγόρους ἐπὶ τοῖς δικασταῖς γένηται τοῦτον ἀποδοκιμάσαι. δοκιμασθὲν δὲ τοῦτον τὸν τρόπον, βαδίζουσι πρὸς τὸν λίθον ὑφ' (ᾧ) τὰ ταμιεῖά ἐστιν, ἐφ' οὗ καὶ οἱ διαιτηταὶ ὀμόσαντες ἀποφαίνονται τὰς διαίτας καὶ οἱ μάρτυρες ἐξόμνυνται τὰς μαρτυρίας».

Ἡ ῥῆσις *καὶ πρότερον μὲν — ψηφίζεσθαι περὶ αὐτῶν* εἶνε κακῶς προενηνεγμένη καὶ ἀποβαίνει ἀδιανόητος. Οὐχὶ δὲ δύσκολον ὑπάρχει ἐπιστήσαντί τινι τὴν διάνοιαν νὰ εὕρῃ τὴν ἀληθῆ γραφήν. Ὁ Ἀριστοτέλης εἶπε «καὶ πρότερον μὲν εἰς ἐνέβαλλε τὴν (ψ)ῆφον, νῦν δ' ἀνάγκη πάντας ἐστὶ *ΔΙΑψηφίζεσθαι* περὶ αὐτῶν». Πρβ. σελ. 107, 9 «διαψηφίζονται περὶ αὐτῶν ὀμόσαντες οἱ δημόται» (καὶ σελ. 168, 13). Ὁ Ἁρποκρατίων γράφει σελ. 93, 15 «Διαψήφισις: ἰδίως λέγεται ἐπὶ τῶν ἐν τοῖς δήμοις ἐξετάσεων, αἳ γίγνονται περὶ ἑκάστου τῶν δημοτευομένων, εἰ τῷ ὄντι πολίτης καὶ δημότης ἐστὶν ἢ παρεγγέγρα-

πται ξένος ὤν — Ἐντελέστατα δὲ διείλεκται περὶ τῶν διαψηφίσεων, ὡς γεγόνασιν ἐπὶ Ἀρχίου ἄρχοντος, Ἀνδροτίων ἐν τῇ Ἀτθίδι καὶ Φιλόχορος ἐν Ϛʹ τῆς Ἀτθίδος» (Πρβ. καὶ Leipz. Stud. Τόμ. Εʹ, σελ. 329).

Τίς δὲ δὲν νοεῖ παραχρῆμα ὅτι ἀναγκαίως ἔχει νὰ μετατυπωθῇ τὸ *δοκιμασθὲν* εἰς τὸ *δοκιμασθέντες*; Πρβ. καὶ σελ. 138, 7 καὶ σελ. 148, 6.

Τὸ *ὑφ'* (*ᾧ*) *τὰ ταμιεῖα* εἶνε παντὶ ἀκατάληπτον. Ὁ ἐκδότης σημειοῦται «ταμιεῖα : MS. ταμι», παρατίθεται δὲ τήνδε τὴν ῥῆσιν ἐκ τοῦ Ὀνομαστικοῦ τοῦ Πολυδεύκους βιβλ. Ηʹ, 86 «ἐπηρώτα δ' ἡ βουλή, ὤμνυον δ' οὗτοι πρὸς τῇ βασιλείῳ στοᾷ, ἐπὶ τοῦ λίθου ὑφ' ᾧ τὰ ταμιεῖα, συμφυλάξειν τοὺς νόμους καὶ μὴ δωροδοκήσειν ἢ χρυσοῦν ἀνδριάντα ἀποτίσειν». Ὀρθῶς ὁ Φραιγκέλιος μετέβαλε τὸ ἐν τῷ Ἀριστοτελικῷ βιβλίῳ *ὑφ'* (*ᾧ*) *τὰ ταμιεῖα* εἰς τὸ *ἐφ' οὗ τὰ τόμια*, ὡς ἔγραψεν ὁ Βέργκιος ἐν τῷ χωρίῳ τοῦ Πολυδεύκους. Ἐπειδὴ δ' ἐν τῷ κώδικι εἶνε κατὰ τὴν σημείωσιν τοῦ ἐκδότου γεγραμμένον *ταμι*, δύναταί τις νὰ ὑπολάβῃ εὐλόγως ὅτι ὁ Ἀριστοτέλης εἶπε κατ' ἔκθλιψιν «ἐφ' οὗ τὰ *τόμι' ἐστίν*». Παρὰ τῷ Πολυδεύκει φέρεται κατὰ τὴν τοῦ Δινδορφίου ἔκδοσιν «ἐπὶ τοῦ λίθου, *ἐφ' ᾧ τε* συμφυλάξειν τοὺς νόμους», ὁ δὲ Βεκκῆρος ἐξέδωκεν ἐκ τοῦ κώδικος τοῦ Σχόττου «ἐπὶ τοῦ λίθου *ὑφ' ᾧ τὰ ταμιεῖα* συμφυλάξειν τοὺς νόμους». Ἀγχινούστατα δ' ὁ Βέργκιος εὗρε τὴν ἀληθῆ γραφὴν οὖσαν *ἐφ' οὗ τὰ τόμια* (ἐν *Klein. Philol. Schrift.* Τόμ. Βʹ, σελ. 290. Πρβ. καὶ σελ. 625-6).

σελ. 140, 4 «Λαμβάνουσι δὲ καὶ παρέδρους ὅ τε ἄρχων καὶ ὁ βασιλεὺς καὶ ὁ πολέμαρχος δύο ἑκάτερος οὓς ἐὰν (γρ. οὓς ἂν) βούληται».

Ἀνάρμοστον ὂν τὸ *ἑκάτερος* μετατυπωτέον εἰς τὸ *ἕκαστος*. Πρβ. Πολυδεύκ. Ηʹ, 92 «πάρεδροι δ' ὀνομάζονται οὓς αἱροῦνται ἄρχων καὶ βασιλεὺς καὶ πολέμαρχος, δύο *ἕκαστος*, οὓς βούλεται». Πολλάκις δὲ συνεχύθησαν ὑπὸ τῶν βιβλιογράφων τὸ *ἕκαστος* καὶ *ἑκάτερος*, ὡς θὰ παραστήσωμεν ἀλλαχοῦ.

σελ. 141, 9 «πομπῶν δ' ἐπεμελεῖτο (τῆς τε) τῷ Ἀσκλη-

πιῷ γιγομένης κτέ.» καὶ σελ. 143, 4 «(οὓς) ὁ δῆμ(ος ἐχ)ειροτόνει».

Σφάλματα φανερώτατα εἶνε τὸ *ἐπεμελεῖτο* ἀντὶ τοῦ *ἐπιμελεῖται* καὶ τὸ *ἐχειροτόνει* ἀντὶ τοῦ *χειροτονεῖ*.

σελ. 141, 12 «οὓς πρότερον μὲν ὁ δῆμος ἐχειροτόνει δέκα ὄντας, (καὶ τὰ) εἰς τὴν πομπὴν ἀναλώματα παρ' αὐτῶν ἦν(εγκ)ον, νῦν δ' ἕνα τῆς φυλ(ῆς ἑκά)στης κληροῖ καὶ δίδωσιν εἰς τὴν κατασκευὴν ἑκατὸν μνᾶς».

Τὸ *ἤν(εγκ)ον* δὲν ἔχει ὑγιῶς. Ὁ Ἀριστοτέλης καθ' ἡμᾶς ἔγραφε «(καὶ τὰ) εἰς τὴν πομπὴν ἀναλώματα παρ' αὐτῶν *ἀνήλισκον*». Λέγεται ἑλληνιστὶ *παρ' ἑαυτοῦ ἀναλίσκειν*, ὡς *παρ' ἑαυτοῦ διδόναι* καὶ *παρ' ἑαυτοῦ προστιθέναι*. Ἰσαῖ. περὶ τοῦ Κίρ. Κλήρ. 39 «ἀνήλωσα παρ' ἐμαυτοῦ». Ἡρόδ. Β', 129 «παρ' ἑωυτοῦ διδόντα» καὶ Ζ', 29 «παρ' ἐμεωυτοῦ δούς» καὶ Η', 5 «παρ' ἑωυτοῦ δῆθεν διδούς». Ξενοφ. Ἑλλ. Ϛ', α', 3 «παρ' ἑαυτοῦ προσετίθει». Καὶ ἄλλα ὅμοια τούτοις παραδείγματα μνημονεύονται ἐν τοῖς Μελετήμασι τοῦ Κουρτίου Τόμ. Γ', σελ. 22. Ἐν τῷ Δίωνι τοῦ Πλουτάρχου κεφ. ΙΖ', 2 ἀπαντᾷ «τόν τε χορὸν ἤσκησεν ὁ Δίων καὶ τὸ δαπάνημα πᾶν ἐτέλεσε παρ' ἑαυτοῦ».

Ἀναγνωστέον δ' ἴσως *εἰς τὴν ΠΑΡΑσκευὴν* ἀντὶ τοῦ *εἰς τὴν ΚΑΤΑσκευήν*. Τὸ ἐν σελ. 76, 10 «*κατεσκεύασε* μισθοφορὰν τοῖς δικασταῖς» συνωνυμεῖ τῷ *ἐποίησε*.

σελ. 141, 19 «γραφαὶ δ(ὲ καὶ δ)ίκαι λαγχάνονται πρὸς αὐτόν, ἃς ἀνακρίνας εἶτ'(εἰς δι)καστήριον εἰσ(άγει)».

Οὐδαμῶς ἡμεῖς ἀμφιβάλλομεν ὅτι ἐγράφη ὑπὸ τοῦ Ἀριστοτέλους «ἃς ἀνακρίνας *εἰΣ* (*τὸ* δι)*κα*στήριον εἰσά(γει)», ὡς καὶ ἐν ἄλλοις τόποις, οἷον

σελ. 117, 14 «εἰσάγειν τοὺς θεσμοθέτας *εἰς τὸ δικαστήριον*».
σελ. 128, 1 καὶ 4 «εἰσάξοντας *εἰς τὸ δικαστήριον*».
σελ. 129, 3 καὶ σελ. 133, 12 «*εἰς τὸ δικαστήριον* εἰσάγοντες».
σελ. 130, 10 «εἰσάγουσιν *εἰς τὸ δικαστήριον*».

σελ. 142, 16 «κύριός ἐστι τοῖς ἀδικοῦσιν ἐπιβάλ(λειν ζημίαν ἢ *ἄγειν* εἰς) τὸ δικα(στή)ριον». Γραπτέον «ἐπιβάλ(λειν ζημίαν ἢ *εἰσάγειν* εἰς) τὸ δικα(στή)ριον».

Λέγει δ' ὁ Ἀριστοτέλης καὶ *ἐφιέναι εἰς τὸ δικαστήριον* καὶ *ἔφεσις εἰς τὸ δικαστήριον* καὶ *ἐφέσιμος εἰς τὸ δικαστήριον* καὶ *δοκιμάζεσθαι ἐν τῷ δικαστηρίῳ*, κτλ., οἷον

σελ. 26, 4 «ἡ *εἰς τὸ δικ(αστήριον)* ἔφ(εσι)ς».

σελ. 108, 5 «ὁ μὲν ἐφίησιν *εἰς τὸ δικαστήριον*».

σελ. 117 τέλ. «ἐφέσιμος *εἰς τὸ δικαστήριον*».

σελ. 118, 1 «ἔφεσις δὲ καὶ τούτοις ἐστὶν *εἰς τὸ δικαστήριον*» καὶ 6 «νῦν δὲ τούτοις ἔφεσίς ἐστιν *εἰς τὸ δικαστήριον*».

σελ. 130, 3 «ἂν δ' ὁ ἕτερος ἐφῇ — εἰς τὸ *δικαστήριον*».

σελ. 120, 16 «πραθέντα *ἐν τῷ δικαστηρίῳ*».

σελ. 122, 4 «τῶν τὰς εὐθύνας *ἐν τῷ δικαστηρίῳ* δεδωκότων».

σελ. 139, 8 «*ἐν* δὲ *τῷ δικαστηρίῳ* τὴν ψῆφον».

σελ. 140, 6 «οὗτοι δοκιμάζονται *ἐν τῷ δικαστηρίῳ*».

σελ. 151, 7 «κρίνουσιν *ἐν τῷ δικαστηρίῳ*».

σελ. 158, 4 «ἐνδείκνυται *κατὰ τὸ δικαστήριον* εἰσαγγελία».

Ἄνευ τοῦ ἄρθρου εἶνε εἰρημένον ἐν σελ. 82, 7 «ἐὰν — εἰσάγῃ *εἰς δικαστήριον*». Πρβ. καὶ σελ. 117, 9 καὶ σελ. 138, 5 καὶ 8: *ἐν δικαστηρίῳ* καὶ σελ. 119, 4: *παραδίδωσι δικαστηρίῳ*. Σημειωτέον δ' ὅτι παρὰ τῷ Ἁρποκρατίωνι φέρεται σελ. 105, 3 «Ὁ δὲ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων Πολιτείᾳ πρὸς τὸν ἄρχοντά φησι λαγχάνεσθαι ταύτην τὴν δίκην, *τὸν δὲ ἀνακρίνοντα εἰσάγειν εἰς τὸ δικαστήριον*». Μετέβαλε δ' ὁ Βεκκῆρος τὸ *ἀνακρίνΟντα* εἰς τὸ *ἀνακρίνΑντα*.

Τοῦ παθητικοῦ ῥήματος *λαγχάνεσθαι* γίνεται χρῆσις καὶ ἐν τοῖς ἔπειτα, οἷον σελ. 143 τέλ. «γραφαὶ δὲ *λαγχάνονται* πρὸς αὐτὸν ἀσεβείας» καὶ σελ. 144, 2 «*λαγχάνονται* δὲ καὶ αἱ τοῦ φόνου δίκαι πᾶσαι πρὸς τοῦτον» καὶ σελ. 146, 4. Ἐσχηματίσθη δ' ὑπὸ τῶν Ἑλλήνων καὶ ἀόριστος *ληχθῆναι* καὶ παρακείμενος *εἰλῆχθαι*. Πρβ. καὶ Οὐηβῆρον εἰς *Δημοσθ. κατ' Ἀριστοκρ.* σελ. 283.

Αἱ λέξεις *δίκαι* καὶ *γραφαὶ* οὐχὶ ὀλιγάκις εὑρίσκονται συνημμέναι ἢ ἐν τῷ αὐτῷ λόγῳ κείμεναι, οἷον

Ἀριστοφ. Ἀποσπ. 278 Κοκκ. «ἐν ᾧ ποιοῦμεν τὰς δίκας καὶ τὰς γραφάς».

Ξενοφ. Ἀθην. Πολιτ. Γ', 2 «ἔπειτα δὲ δίκας καὶ γραφὰς καὶ εὐθύνας ἐκδικάζειν».

Λυσ. ὑπὲρ τοῦ Ἐρατοσθ. Φόν. 44 «οὔτε γὰρ συκοφαντῶν γραφάς με ἐγράψατο — οὔτ' ἰδίας δίκας ἐδικάζετο» καὶ κατ' Ἀγορ. 65 «ὅσας οὗτος ἢ δίκας ἰδίας συκοφαντῶν ἐδικάζετο ἢ γραφὰς ὅσας ἐγράφετο».

Ἰσαῖ. περὶ τοῦ Ἁγν. Κλήρ. 28 «ὥσπερ καὶ γραφὰς κατ' ἐμοῦ δέδωκεν, οὕτω καὶ δίκας ἐμοὶ εἶναι — πεποίηκεν».

Ἰσοκράτ. Πανηγυρ. 113 «καὶ περὶ τῶν δικῶν καὶ τῶν γραφῶν τῶν ποτε παρ' ἡμῖν γενομένων» καὶ κατὰ Λοχίτ. 2 «καὶ δίκας καὶ γραφὰς ἄνευ παρακαταβολῆς ἐποίησαν» καὶ πρὸς Καλλίμ. 51 «καὶ δίκας οἵας δεδίκασται καὶ γραφὰς εἰσελήλυθε». Ὁ Ναβῆρος ἐν *Μνημοσ.* 1879, σελ. 84 ἔγραψε «καὶ γραφὰς (*ὅσας*) εἰσελήλυθε».

Πρβ. καὶ Δημοσθέν. σελ. 523, 28 «καὶ δίκας ἰδίας δίδωσιν ὁ νόμος μοι καὶ γραφὴν ὕβρεως» καὶ σελ. 524 32 «γραφὴν ὕβρεως καὶ δίκην κατηγορίας ἰδίαν φεύξεται». Ἐν τῷ Εὐθύφρονι τοῦ Πλάτωνος σελ. 2 α' φέρεται «Εὐθ. Οὐ γάρ που καὶ σοί γε δίκη τις οὖσα τυγχάνει πρὸς τὸν βασιλέα, ὥσπερ ἐμοί. Σωκρ. Οὔτοι δὴ Ἀθηναῖοί γε, ὦ Εὐθύφρον, δίκην αὐτὴν καλοῦσιν ἀλλὰ γραφήν». Θωμᾶς ὁ Μάγιστρος γράφει σελ. 83, 6 «Δίκη ἡ ἰδία, γραφὴ ἡ δημοσία. Πλάτων ἐν τῷ Εὐθύφρων ἢ περὶ ὁσίου· οὔτοι δὴ Ἀθηναῖοί γε, κτέ.». Πρβ. καὶ Σχολ. Αἰσχίν. σελ. 253 Σχουλτζ. (Ἴδε Λοβέκκιον ἐν τῇ ἐκδόσει τῆς Ἐκλογῆς καὶ τῆς Ἐπιτομῆς τοῦ Φρυνίχου καὶ Ἀποσπάσματος τοῦ Ἡρωδιανοῦ σελ. 472 καὶ Σταλβαύμιον ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. ϛ', β', σελ. 152). Ὁ Πολυδεύκης λέγει βιβλ. Η', 42 «Ἐκαλοῦντο γὰρ αἱ γραφαὶ καὶ δίκαι, οὐ μέντοι καὶ αἱ δίκαι γραφαί» (Πρβ. Ἰούλ. Ῥιχτῆρον ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Σφηκῶν σελ. 164). Πλείονα περὶ τοῦ πράγματος θὰ γράψωμεν ἑτέρωθι.

σελ. 142, 7 «παρανοίας, ἐάν τις αἰτιᾶταί τινα παρανοοῦντα τ(ὰ ἑαυτοῦ κτήματα ἀ)πολλύν(αι), εἰς δατητῶν αἵρεσιν, ἐάν τις μὴ θέλῃ (κ)οινὰ (τὰ ὄντα νέμεσθαι).

Ἐν τῷ ἀντιγράφῳ εἶνε γεγραμμένον πλημμελῶς *διαιτητῶν*, ὃ μετέβαλεν ὁ ἐκδότης εἰς τὸ *δατητῶν*. Φέρεται δὲ καὶ παρὰ τῷ Πολυ-

δεύκει βιβλ. Η', 89 ἡ ἡμαρτημένη ἀνάγνωσις *διαιτητῶν*. Ἀλλὰ κεῖται παρ' αὐτῷ καὶ ἡ ὀρθῶς ἔχουσα ἐκφορὰ ἐν βιβλ. Η', 136 «ἡ δάτησις ὑπομόχθηρον — οἱ δὲ διανέμοντες *δατηταί*· καὶ *εἰς δατητῶν αἵρεσιν* ἔλεγον οἱ ῥήτορες». Πρβ. καὶ βιβλ. Δ', 176 «δάσασθαι, δασμός, *δατητάς*» (Ἴδε καὶ Δάμιον ἐν *Observat. in Lex. Seguer.* σελ. 63-4).

Γραπτέον δ' ἴσως «τ(*ὰ ὑπάρχοντα ἀ*)πολλύν(αι)», τουτέστι: *τὴν οὐσίαν*.

σελ. 142, 13 «(ἐπιμελεῖτ)αι δὲ — καὶ τῶν γυναικῶν ὅσαι ἂν τελευ(τήσαντος τοῦ ἀνδρ)ὸς σκή(πτω)νται κύειν».

Κατὰ τὸν Κόβητον ἐν *Μνημοσ.* 1859, σελ. 175 ἐλέγετο ὑπὸ τῶν Ἑλλήνων *κυῶ* περισπωμένως, οὐχὶ *κύω* βαρυτόνως. Ἴδε καὶ Σχάνζιον ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. Ε', α', σελ. VI. Πλείονα περὶ τοῦ προκειμένου ῥήματος θὰ γράψωμεν ἑτέρωθι.

σελ. 143, 5 «(Ὁ δὲ) βασιλεὺς πρῶτον μὲν μυστηρίων ἐπιμελεῖ(ται μετὰ τῶν ἐπιμελητῶν οὓς) ὁ δῆμ(ος ἐχ)ειροτόνει, δύο μὲν ἐξ Ἀθηναίων ἁπάντων, ἕνα δ' (Εὐμολπιδῶν, ἕνα) δὲ Κηρ(ύκω)ν. ἔπειτα Διονυσίων τῶν ἐπὶ Ληναίων· ταῦτα δ' ἐστὶ . . . . (ταύτην) μὲν οὖν πομπὴν κοινῇ πέμπουσιν ὅ τε βασιλεὺς καὶ οἱ ἐπιμεληταί· τὸν δὲ ἀγῶνα διατίθησιν ὁ βασιλεύς, τίθησι δὲ καὶ τοὺς τῶν λαμπάδων ἀγῶνας ἅπαντας».

Ὅτι κακῶς εἶνε γεγραμμένον *ἐχειροτόνει* ἀντὶ τοῦ *χειροτονεῖ* παρετηρήσαμεν ἐν τοῖς ἔμπροσθεν.

Παρὰ τῷ Ἁρποκρατίωνι φέρεται σελ. 126, 15 «Ἀριστοτέλης δ' ἐν Ἀθηναίων Πολιτείᾳ φησὶν οὕτως· ὁ δὲ βασιλεὺς πρῶτον μὲν τῶν μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν, οὓς ὁ δῆμος χειροτονεῖ, Β' μὲν ἐξ Ἀθηναίων ἁπάντων, ἕνα δ' ἐξ Εὐμολμιδῶν, ἕνα δ' ἐκ Κηρύκων». Ἀναγνωστέον δὲ καὶ παρὰ τῷ Ἀριστοτέλει «ἕνα δ' (ἐξ Εὐμολπιδῶν, ἕνα) δ' ἐΚ Κηρύκων».

Τὸ *Ληναίων* τρεπτέον εἰς τὸ *Ληναίῳ*· «ἔπειτα Διονυσίων τῶν ἐπὶ

Ληναίῳ». Κεῖται δὲ καὶ ἐν τοῖς εἰς Αἰσχίνην Σχολίοις σελ. 286 πλημμελῶς «ἐνίκα δὶς *ἐπὶ Ληναίων*» ἀντὶ τοῦ *ἐπὶ Ληναίῳ*, οὗ παραδείγματα οὐκ ὀλίγα ἐμνημόνευσεν ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Ἀχαρνέων σελ. 302-3. Πρβ. καὶ Οὐϊλαμοβίτζιον ἐν *Ἑρμ*. 1886, σελ. 615 καὶ Καιβέλιον ἐν *Ἑρμ*. 1888, σελ. 271.

Ἐκ τοῦ *τὸν δὲ ἀγῶνα* συμπεραίνεται εὐκόλως ὅτι ἐλέχθη ἐν τοῖς πρὸ αὐτοῦ *τὴν μὲν οὖν πομπήν*· παραχρῆμα δ' ἐκ τούτων γίνεται φανερὸν ὅτι ἐποιήσατο ὁ συγγραφεὺς μνείαν πομπῆς καὶ ἀγῶνος. Τὸ χωρίον τοῦ Ἀριστοτέλους εἶχεν ὧδε· «ταῦτα δ' ἐστὶ (*πομπὴ καὶ ἀγών· τὴν*) μὲν οὖν πομπὴν κοινῇ πέμπουσιν ὅ τε βασιλεὺς καὶ οἱ ἐπιμεληταί, τὸν δὲ ἀγῶνα διατίθησιν ὁ βασιλεύς».

σελ. 144, 6 «ἂν μὲν ἐκ προνοίας ἀποκτείνῃ, ἐγγρ(άφεται) ἐν Ἀρείῳ πάγῳ, καὶ φάρμακον ἐὰν ἀποκτείνῃ δούς».

Νομίζομεν ὅτι ὑπὸ τοῦ Ἀριστοτέλους ἐλέχθη «ἂν μὲν ἐκ προνοίας (τις) ἀποκτείνῃ», ὡς ἐν τοῖς ἑξῆς «κἂν οἰκέτην ἀποκτείνῃ *τις* ἢ μέτοικον» καὶ «ἐὰν δ' ἀποκτεῖναι μέν *τις* ὁμολογῇ».

σελ. 144, 10 «ἐὰν δ' ἀποκτεῖναι μέν τις ὁμολογῇ, φῇ δὲ κατὰ τοὺς νόμους, ο(ἷον) μοιχὸν λαβὼν ἢ ἐν πολέμῳ ἀγνοήσας ἢ ἐν ἄθλῳ ἀγωνιζόμενος, το(ύτῳ ἐν τῷ ἐπὶ) Δελφινίῳ δικάζουσιν· ἐὰν δὲ φεύγων φυγὴν ὧν αἴδεσίς ἐστιν (αἰτίαν προσλάβῃ) κτεῖναι ἢ τρῶσαί τινα, τούτῳ δ' ἐν Φρεαττοῖ δικάζου(σι)».

Κατὰ τὴν στίξιν, ἣν ἐνέκρινεν ὁ ἐκδότης, ἀνήρει κατὰ τοὺς νόμους οὐ μόνον ὁ μοιχὸν λαβών, ὡς ὁ Εὐφίλητος τὸν Ἐρατοσθένη, ἀλλὰ καὶ ὁ ἐν πολέμῳ ἀγνοήσας καὶ ὁ ἐν ἄθλῳ ἀγωνιζόμενος. Ἐπειδὴ δὲ τοῦτο εἶνε ἄτοπον, ὀφείλομεν νὰ στίξωμεν μετὰ τὸ *λαβών*· «ἐὰν δ' ἀποκτεῖναι μέν τις ὁμολογῇ, φῇ δὲ κατὰ τοὺς νόμους, οἷον μοιχὸν λαβών, ἢ ἐν πολέμῳ ἀγνοήσας ἢ ἐν ἄθλῳ ἀγωνιζόμενος». Μεταβλητέον δ' ἴσως τὸ *ἀγωνιζόμενος* εἰς τὸ *ἄκων*. Παρὰ τῷ Δημοσθένει κεῖται ὁ νόμος ὅδε σελ. 637, 53 «ἐάν τις ἀποκτείνῃ ἐν ἄθλοις ἄκων ἢ ἐν ὁδῷ καθελὼν ἢ ἐν πολέμῳ ἀγνοήσας—, τούτων ἕνεκα μὴ φεύγειν κτεί-

ναντα». Πρβ. καὶ § 54-5. Λέγει δὲ καὶ ὁ Πλάτων Νόμ. σελ. 865 α' «εἴ τις ἐν ἀγῶνι καὶ ἐν ἄθλοις δημοσίοις ἄκων — ἀπέκτεινέ τινα φίλιον ἢ κατὰ πόλεμον ὡσαύτως ἢ κατὰ μελέτην τὴν πρὸς πόλεμον, κτέ.»

Ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους φέρεται βιβλ. Η', 120 «Τὸ ἐν Φρεαττοῖ. Ἐν τούτῳ ἐκρίνετο εἴ τις τῶν φευγόντων ἐπ' ἀκουσίου φόνου αἰτίᾳ δευτέραν αἰτίαν ἑκουσίου προσλάβοι», ἐν δὲ τοῖς Ἀττικοῖς τοῦ Παυσανίου ἀπαντᾷ κεφ. ΚΗ', 12 «Ἔστι δὲ τοῦ Πειραιῶς πρὸς θαλάσσῃ Φρεαττύς. Ἐνταῦθα οἱ πεφευγότες, ἢν ἀπελθόντας ἕτερον ἐπιλάβῃ σφᾶς ἔγκλημα, πρὸς ἀκροωμένους ἐκ τῆς γῆς ἀπὸ νεὼς ἀπολογοῦνται». Σημειωτέον δ' ὅτι τὸ ἀντίγραφον τοῦ Ἀριστοτέλους ἔχει *φρεατου*, τουτέστι *Φρεάτου*. Πρβ. Οὐηβῆρον εἰς *Δημοσθέν. κατ' Ἀριστοκρ.* σελ. 284-5.

Περὶ τοῦ *αἴδεσις* θὰ εἴπωμεν τὰ δέοντα ἐν τῷ Δευτέρῳ Μέρει.

Ὡς λέγεται *λαμβάνω αἰτίαν*, οὕτω καὶ *προσλαμβάνω αἰτίαν* (Πρβ. Ἀθηνᾶν Τόμ. Δ', σελ. 126). Τοῦ *λαμβάνω αἰτίαν* ἔχομεν τάδε τὰ μαρτύρια πρόχειρα.

Θουκυδ. Β', 18 «αἰτίαν τε οὐκ ἐλαχίστην Ἀρχίδαμος ἔλαβεν ἀπ' αὐτοῦ». Πρβ. καὶ Ϛ', 60 «ὑπόπτης ἐς τοὺς περὶ τῶν μυστικῶν τὴν αἰτίαν λαβόντας».

Λυσ. κατ' Ἐρατοσθ. 57 «οὐ γὰρ δὴ ἑτέρων ἔργων αἰτίαν λαβόντες ἐκ τῆς πόλεως ἐξέπεσον».

Ὑπερείδ. σελ. 29 Τευβν. «οὔτε αἰτίαν πονηρὰν οὐδεμίαν πώποτ' ἔλαβον οὔτ' ἔγκλημά μοι πρὸς οὐδένα τῶν πολιτῶν γέγονεν».

Πλούτ. Λυσ. ΚΑ', 4 «αὐτὸς μὲν αἰτίαν ἔλαβεν ὡς ἐγκεχαλινωμένον τῇ ὀλιγαρχίᾳ τὸν δῆμον ἀνεὶς αὖθις κτέ.»

Ἀριστείδ. Τόμ. Β', σελ. 579 «λαβόντα αἰτίαν οὐ προσήκουσαν μὴ χρήσασθαι τοῖς οἰκείοις ὀργάνοις».

Ἰώσ. Ἰουδ. Ἀρχ. Ζ', α', 4 «ὕστερον δ' ἐν ἐγκλήματι γενόμενος ὁ Ἀβέννηρος καὶ λαβὼν αἰτίαν ὡς συνέλθοι τῇ Σαούλου παλλακῇ».

Λιβάν. Ἐπιστ. 1183, σελ. 562 Οὐολφ. «ἀλλ' ὅμως ἔλαβεν αἰτίαν οὕτως ἀλλοτρίαν τοῦ τρόπου».

Ἐν τῷ Ἀλκιβιάδῃ τοῦ Πλουτάρχου ἀπαντᾷ κεφ. ΚΖ', 5 «φοβούμενος αἰτίαν λαβεῖν *ἐκ* βασιλέως», παρὰ δὲ Δίωνι τῷ Κασσίῳ βιβλ. ΝΕ', κζ', 6 κεῖται «αἰτίαν τινὰ *ἀπὸ* τῶν ἀδελφῶν λαβών».

Ὁ Κόβητος ἀποδοκιμάζει μὲν τὸ *αἰτίαν λαβεῖν ἘΚ βασιλέως*, νομίζει δὲ τὸ *ἈΠΟ τῶν ἀδελφῶν* ἡμαρτημένην γραφὴν τοῦ *ὙΠΟ τῶν ἀδελφῶν*. Παρατιθέμεθα τὰ ὑπὸ τοῦ ἐπιφανεστάτου ἀνδρὸς γεγραμμένα ἐν *Var. Lect.* σελ. 386 «In cap. 27 φοβούμενος αἰτίαν λαβεῖν ἐκ βασιλέως, debuerat ὑπὸ βασιλέως dicere, ut supra ostendimus et recte dixit in *Phocione* cap. 14. τραύματα λαβὼν ὑπὸ τῶν προσβοηθούντων ἀπέπλευσεν» καὶ ἐν *Mnemos.* 1882, σελ. 207 «Scribendum Ὑπὸ τῶν ἀδελφῶν, namque αἰτίαν λαβεῖν non minus est *passivum* quam τραῦμα λαβεῖν vel πληγὰς λαβεῖν ὑπό τινος».

Λέγεται καὶ *φέρομαι αἰτίαν*. Πολλάκις δ' ἔν τε τῷ δοκίμῳ καὶ τῷ ἀδοκίμῳ ἑλληνισμῷ γίνεται χρῆσις τοῦ *ἔχω-ἔσχον αἰτίαν*, *ἔχω αἰτίαν ποιεῖν ἢ ποιῆσαί τι*, κτλ. καὶ *ἔχω αἰτίαν ὑπό τινος*. Φέρεται δὲ καὶ ἐν τῇ Ἀριστοτέλους Ἀθηναίων Πολιτείᾳ σελ. 145, 7 «ὁ δὲ τὴν αἰτίαν ἔχων τὸν μὲν ἄλλον χρόνον εἴργεται τῶν ἱερῶν». Τὴν αὐτὴν δ' ἔννοιαν τῷ *αἰτίαν ἔχω* ἐμφαίνει τὸ *ἐν αἰτίᾳ εἰμί* (Πρβ. καὶ Οὐηβῆρον εἰς *Δημοσθέν. κατ' Ἀριστοκρ.* σελ. 197).

σελ. 145, 7 «ὁ δὲ τὴν αἰτίαν ἔχων τὸν μὲν ἄλλον χρόνον εἴργεται τῶν ἱερῶν καὶ οὐδεὶς τὴν α(ἰτί)αν δ(ύναται ἐ)μβαλεῖν αὐτῷ· τότε δ' εἰς τὸ ἱερὸν εἰσελθὼν ἀπολογεῖται, ὅταν δέ (τ)ις εἴπῃ τὸν ποιήσαντα τῷ δράσαντι λαγχάνει».

Ἡ φράσις «οὐδεὶς τὴν αἰτίαν δύναται ἐμβαλεῖν αὐτῷ» εἶνε προφανῶς ἡμαρτημένη. Ἀναγνωστέον δέ, ὡς καὶ ὁ περισπούδαστος ἡμῖν φίλος Βασίλ. Λάκων ἀνέγνω, «οὐδ' εἰς τὴν *ἀ(γορ)ὰν (ἔξεστιν* ἐ)μβαλεῖν αὐτῷ». Τοῦ *εἰς τὴν ἀγορὰν ἐμβάλλειν* μνημονεύομεν τάδε τὰ παραδείγματα. Αἰσχίν. κατὰ Τιμ. 164 «εἶτ' ἐμβάλλεις εἰς τὴν ἀγορὰν—ἢ πράττεις τι τῶν αὐτῶν ἡμῖν;» καὶ περὶ Παραπρ. 148 «οὐ καθαρὸς ὢν εἰς τὴν ἀγορὰν ἐμβάλλεις». Λυκοῦργ. κατὰ Λεωκρ. 5 «τοῦτον περιορᾶν εἰς τὴν ἀγορὰν ἐμβάλλοντα». Δημοσθέν. σελ. 732, 103 «ἐάν τις ἁλοὺς τῆς κακώσεως τῶν γονέων εἰς τὴν ἀγορὰν ἐμβάλλῃ» καὶ σελ. 751, 165 «ὁπότ' ἄνθρωπος πένης —μὴ μόνον εἰς τὴν ἀγορὰν φοβοῖτ' ἐμβαλεῖν». Διόδ. Σικελ. ΙϚ', πη', 2 «τολμᾷς ζῆν καὶ τὸ τοῦ ἡλίου φῶς ὁρᾶν καὶ εἰς τὴν ἀγορὰν ἐμβάλλειν». Λέγεται

καὶ *εἰσιέναι εἰς τὴν ἀγοράν*, οἷον Ἀνδοκίδ. περὶ τῶν Μυστηρ. 76 «τοῖς δ' εἰς τὴν ἀγορὰν μὴ εἰσιέναι πρόσταξις ἦν» καὶ Δημοσθέν. σελ. 719, 60 «μᾶλλον οἱ προδιδόντες τι τῶν κοινῶν, οἱ τοὺς γονέας κακοῦντες, οἱ μὴ καθαρὰς τὰς χεῖρας ἔχοντες, εἰσιόντες δ' εἰς τὴν ἀγοράν, ἀδικοῦσιν» καὶ σελ. 740, 126 «ὅτι εἰσῄει εἰς τὴν ἀγοράν, ΟΥΚ ΕΞΟΝ αὐτῷ». Πρβ. καὶ σελ. 758, 185 «τοὺς ἐπιτηδεύοντας οἷά σοι βεβίωται τῆς ἀγορᾶς εἴργοντες» καὶ σελ. 647, 80 «τὸν ἀνδροφόνον δ' ὁρᾷ περιιόντα ἐν τοῖς ἱεροῖς καὶ κατὰ τὴν ἀγοράν» (Ἴδε Μαιτζνῆρον εἰς *Λυκ.* σελ. 83). Ὁ Πολυδεύκης γράφει βιβλ. Η', 66 «εἴργοντο δὲ ἱερῶν καὶ ἀγορᾶς οἱ ἐν κατηγορίᾳ φόνου ἄχρι κρίσεως· καὶ τοῦτο προαγόρευσις ἐκαλεῖτο» (Ἴδε Μαιτζνῆρον εἰς *Ἀντιφ.* σελ. 205 καὶ Σταλβαύμιον εἰς *Πλάτ. Νόμ.* σελ. 871 α'. Πρβ. καὶ Κόβητον ἐν *Μνημοσ.* 1862, σελ. 137).

Ἡ ῥῆσις «ὅταν δέ τις εἴπῃ τὸν ποιήσαντα τῷ δράσαντι λαγχάνει» φαίνεται ἡμῖν ἀλλόκοτος, ἀδυνατοῦμεν δὲ νὰ καταστήσωμεν αὐτὴν νοητήν.

σελ. 145, 14 «Ὁ δὲ πολέμαρχος ποιεῖται θυσίας τήν τε τῇ Ἀρτέμιδι τῇ ἀγροτέρᾳ καὶ τῷ Ἐνυαλίῳ, διατίθησι δ' ἀγῶνα τὸν ἐπιτάφιον τοῖς τετελευτηκόσιν ἐν τῷ πολέμῳ, καὶ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι ἐναγίσματα ποιεῖ».

Πιθανὸν ἡμῖν φαίνεται ὅτι εἶπεν ὁ Ἀριστοτέλης «ποιεῖται θυσίας ΤΗΝ τε τῇ Ἀρτέμιδι τῇ ἀγροτέρᾳ καὶ (ΤΗΝ) τῷ Ἐνυαλίῳ». Ἴσως δὲ καὶ ἐν σελ. 141 τέλ. γραπτέον «καὶ (*τὸν*) τῶν Θαργηλίων». Ἀλλ' ἐν σελ. 146, 4 κεῖται «*αἵ* τε τοῖς μετοίκοις καὶ τοῖς ἰσοτελέσι καὶ τοῖς προξένοις γιγνόμεναι». Πρβ. καὶ σελ. 146, 9.

Τὸ *τῇ Ἀρτέμιδι τῇ ἀγροτέρᾳ* ἀπαντᾷ καὶ παρὰ τῷ Ξενοφῶντι Κυνηγ. ϛ', 13 «εὐξάμενον τῷ Ἀπόλλωνι καὶ *τῇ Ἀρτέμιδι τῇ ἀγροτέρᾳ*». Πρβ. καὶ Ἀριστοφ. Θεσμ. 115 «κόραν ἀείσατ' Ἄρτεμιν ἀγροτέραν» καὶ Παυσαν. Ἀττ. ΙΘ', 7 «ναὸς ἀγροτέρας ἐστὶν Ἀρτέμιδος» καὶ Εὐστάθ. σελ. 1454, 27 «τῇ ἀγροτέρᾳ Ἀρτέμιδι ἔθυσαν». Φέρεται καὶ ἐν τῇ Ἰλιάδι τοῦ Ὁμήρου *Ἄρτεμις ἀγροτέρη*, ἀλλ' ἐν στίχῳ ἀθετουμένῳ (Φ, 471). Ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους κεῖται βιβλ. Ε', 13 «ἡ δὲ θεὸς ἀγροτέρα καὶ κυνηγέτις» καὶ βιβλ. Θ',

12 «καὶ ἡ ἀγροτέρα θεὸς καὶ τὸ τῆς ἀγροτέρας τέμενος». Ὁ Εὐστάθιος γράφει σελ. 1247, 9 «Ὅτι δὲ καὶ ἀπολύτως Ἀγροτέρα λέγεται ἡ Ἄρτεμις ἐπιθετικῶς παρ' Ἀττικοῖς, δηλοῦσιν ἄλλοι καὶ ὁ κωμικὸς ἐν οἷς λέγει κατὰ χιλίων τῇ Ἀγροτέρᾳ εὔξασθαι». Ὁ Ἀριστοφάνης εἶπεν ἐν Ἱππ. 660 «τῇ δ' Ἀγροτέρᾳ κατὰ χιλίων παρήνεσα εὐχὴν ποιήσασθαι χιμάρων εἰσαύριον». Πρβ. καὶ Ξενοφ. Ἑλλην. Δ', β', 20 «σφαγιασάμενοι οἱ Λακεδαιμόνιοι τῇ Ἀγροτέρᾳ» καὶ Αἰλιαν. Ποικ. Ἱστορ. Β', 25 καὶ Πλούτ. Ἠθικ. σελ. 862 β' καὶ σελ. 965 γ' (Ἴδε Βαλκενάριον εἰς *Ἡρόδ.* σελ. 742 Γαισφ. Πρβ. καὶ Dissert. Phil. Hal. Τόμ. ΙΑ', σελ. 321).

Ὁ Πολυδεύκης γράφει βιβλ. Η', 91 «ὁ δὲ πολέμαρχος θύει μὲν Ἀρτέμιδι ἀγροτέρᾳ καὶ τῷ Ἐνυαλίῳ, διατίθησι δὲ τὸν ἐπιτάφιον ἀγῶνα τῶν ἐν πολέμῳ ἀποθανόντων». Παρὰ δὲ τῷ Φιλοστράτῳ φέρεται σελ. 624 «ἐν τῇ Ἀκαδημείᾳ, οὗ τίθησι τὸν ἀγῶνα ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ὁ πολέμαρχος». Σημειωτέον δ' ὅτι παρέγγραπτον τὴν μετοχὴν *θαπτομένοις* νομίζει ὁ Κόβητος ἐν *Μνημοσ.* 1873, σελ. 210. Ἀλλὰ καὶ ἐν τῇ Ῥωμαϊκῇ Ἀρχαιολογίᾳ Διονυσίου τοῦ Ἁλικαρνασσέως ἀπαντᾷ σελ. 887 «ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις» (Ἴδε Κόβητον ἐν *Miscell. Crit.* σελ. 502). Παρατηρήσεως δ' ἄξιον εἶνε ὅτι ὑπὸ μὲν τοῦ Πολυδεύκους ἐλέχθη «διατίθησι δὲ *τὸν ἐπιτάφιον ἀγῶνα*», ὑπὸ δὲ τοῦ Ἀριστοτέλους «διατίθησι δ' *ἀγῶνα τὸν ἐπιτάφιον*», ᾧ ὅμοια παραδείγματα θὰ καταλέξωμεν οὐκ ὀλίγα ἀλλαχοῦ.

Περὶ τοῦ *θύω - θυσία* καὶ *ἐναγίζω - ἐνάγισμα - ἐναγισμός* μέλλομεν ἐν τῷ Δευτέρῳ Μέρει νὰ γράψωμεν.

σελ. 147, 2 «καὶ τὰς προβολὰς ἁπάσα(ς) εἰσάγουσιν οὗ(τοι) καὶ γραφὰς παρανόμων καὶ νόμον μὴ ἐπιτήδειον θεῖναι καὶ προεδρικὴν καὶ ἐπιστατικὴν καὶ στρατηγοῖς εὐθύνας».

Ἄτοπος εἶνε ἡ ἄνευ ἄρθρου ἐκφορὰ τοῦ ἀπαρεμφάτου. Ὅθεν δύναταί τις νὰ γράψῃ «καὶ *τοῦ* νόμον μὴ ἐπιτήδειον θεῖναι» ἢ «καὶ *τοῦ* νόμον μὴ ἐπιτήδειον θεῖναί (*τινα*)». Ἀλλὰ κάλλιον καθ' ἡμᾶς εἶνε ν' ἀναγνωσθῇ «καὶ (*εἴ τις*) νόμον μὴ ἐπιτήδειον *θείΗ*». Πρβ.

Πολυδεύκ. Η', 87-8 «καὶ τὰς προβολὰς εἰσάγουσι καὶ τὰς τῶν παρανόμων γραφὰς καὶ εἴ τις μὴ ἐπιτήδειον νόμον γράψειε καὶ στρατηγοῖς εὐθύνας».

σελ. 147, 7 «καὶ συκοφαντίας καὶ δώρων καὶ ψευδεγγραφῆς καὶ ψευδοκλητείας καὶ βουλεύσεως καὶ ἀγραφίου καὶ μοιχείας».

Περὶ τοῦ *ψευδεγγραφή* καὶ τοῦ *ψευδοκλητεία* ἴδε Θησ. Στεφ. Τόμ. Η', σελ. 1859 καὶ 1866. Πρβ. *ψευδενέδρα*, *ψευδοπαιδεία*, κτλ. Ἐν τοῖς εἰς Θουκυδίδην Σχολίοις βιβλ. Ϛ', 91 φέρεται «ἦν τις πρόσοδος ἀπὸ τῶν δικαστηρίων, οἷον ἡ ἀπὸ τῶν γραφῶν δωροδοκίας, ὕβρεως, συκοφαντίας, μοιχείας, *ψευδογραφίας*, παραπρεσβείας, λειποστρατίου». Εὐλόγως δ' ὑπελήφθη τὸ *ψευδογραφίας* πλημμελὴς τοῦ *ψευδεγγραφῆς* ἀνάγνωσις (Ἴδε Πόππον εἰς *Θουκυδ.* Μέρ. Γ', δ', σελ. 323 ἐκδ. μεγ.). Ἐγράφετο δ' ὑπὸ τῶν Ἑλλήνων *λΙποστρατίου* διὰ τοῦ Ι, οὐχὶ *λΕΙποστρατίου* διὰ τοῦ ΕΙ.

Περὶ τοῦ *ἀγραφίου* καὶ τοῦ *ἀποστασίου* καὶ *ἀπροστασίου* (σελ. 146, 10) θὰ ῥηθῶσι τὰ δέοντα ἐν ἑτέρῳ τόπῳ.

σελ. 147, 14 «καὶ ἐπικληροῦσι ταῖς ἀρχαῖς πάντα δικαστήρια (γρ. πάνΤΑ ΤΑ δικαστήρια) τὰ ἴδια καὶ τὰ δημόσια· καὶ τὰ σύμβολα τὰ πρὸς τὰς πόλεις οὗτοι κυροῦσι, καὶ τὰς δίκας τὰς ἀπὸ συμβόλων εἰσάγουσι, καὶ τὰ ψευδομαρτύρια ἐ(ξ) Ἀρείου πάγου».

Ἀναγνωστέον «καὶ *τὰ(ς τῶν) ψευδομαρτυρίΩΝ (τῶν)* ἐξ Ἀρείου πάγου». ὡς εἶνε ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους γεγραμμένον βιβλ. Η', 88 τέλ.

Περὶ τῆς λέξεως *σύμβολα* ἐποιησάμεθα λόγον ἐν ταῖς Γλωσσικαῖς Παρατηρήσεσι σελ. 485. Θὰ γράψωμεν δὲ πλείονα περὶ αὐτῆς ἀλλαχοῦ.

σελ. 148, 9 «καὶ τὸν πέπλον ποιοῦνται καὶ τοὺς ἀμφορεῖς ποιοῦνται μετὰ τῆς βουλῆς, καὶ τὸ ἔλαιον τοῖς ἀθλη-

ταῖς ἀποδιδόασι. συλλέγεται τὸ δ' ἔλαιον (ἀ)πὸ τῶν μοριῶν· εἰσπράττει δὲ τοὺς τὰ χωρία κεκτημένους ἐν αἷς αἱ μορίαι εἰσὶν ὁ ἄρχων, τρία ἡμικοτύλια ἀπὸ τοῦ στελέχους ἑκάστου. πρότερον δ' ἐπώλει τὸν καρπὸν ἡ πόλις· καὶ εἴ τις ἐξορύξειεν ἐλαίαν μορίαν ἢ κατάξειεν, ἔκρινεν ἡ ἐξ Ἀρείου πάγου βουλή, καὶ εἰ καταγνοίη, θανάτῳ τοῦτον ἐζημίουν».

Προσκόπτομεν μᾶλλον τῇ ἐν τῇ παρατεθείσῃ ῥήσει ἐπαναλήψει τοῦ ῥήματος *ποιούμεθα* ἢ τῇ τοῦ *ἀναγινώσκειν* ἐν σελ. 112, 5 «καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων *ἀναγινώσκειν* καὶ τὰς λήξεις τῶν κλήρων καὶ τῶν ἐπικλήρων *ἀναγινώσκειν*». Καὶ δὲν φαίνεται μὲν ἀπίθανον ὅτι ὑπὸ ξένης χειρὸς προσετέθησαν τό τε μετὰ τὸ *ἐπικλήρων* κείμενον *ἀναγινώσκειν* καὶ τὸ τῷ *ἀμφορεῖς* ἐπιφερόμενον *ποιοῦνται*· ἀλλ' ἴσως τοῦτο εἶνε πλημμελὴς ἀνάγνωσις τοῦ *ὠνοῦνται*.

Τὸ μέσον ῥῆμα *ποιοῦμαι* πολλάκις λαμβάνεται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ἐπὶ τῆς ἐννοίας τοῦ *ποιῶ τι δι' ἄλλου* (κυρίως χάριν ἐμαυτοῦ), *ἐπιμελοῦμαι καὶ αἴτιος γίγνομαι τοῦ ποιηθῆναί τι ὑπό τινος* (κυρίως χάριν ἐμαυτοῦ), *ἐπιμελοῦμαι τῆς ποιήσεώς τινος* (Πρβ. σελ. 123 τέλ.). Παραδείγματα τῆς χρήσεως ταύτης οὐκ ὀλίγα ἐμνημόνευσεν ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Θεσμοφοριαζουσῶν σελ. 174, 425.

Ὁ ἐκδότης σημειοῦται «τρία : MS, τρι, as if the writer had intended to make one word of it, τριημικοτύλιον». Ὁ συγγραφεὺς εἶπε *τρί' ἡμικοτύλια* κατ' ἔκθλιψιν, ὡς *ταῦτ' εἶναι* (σελ. 25 τέλ.), *ταῦτ' ἐποίουν* (σελ. 95, 4), *ταῦτ' ἐστίν* (σελ. 124, 9), *πάντ' ἀνάδαστα* (σελ. 28, 15), *τὰ δ' ἄλλ' εἰς τὸ δικαστήριον* (σελ. 129, 3), *τἆλλ' ὅσα* (σελ. 146, 11), *τὰ πλεῖσθ' ὡς ἔπος εἰπεῖν* (σελ. 124, 8). Πρβ. *τὰ τόμι' ἐστίν* (σελ. 139, 15), *ἀδίκημ' ὅ τι* (σελ. 122, 7), *κλέπτοντ' ἐξελέγξωσι* (σελ. 133, 13), *κληροῦσθαί τιν' ἀρχήν* (σελ. 21, 1), *δῆσαί τιν' ἀτακτοῦντα* (σελ. 151, 10), *ἥντιν' ἄν* (σελ. 101, 5), *ὅντ(ιν' ἀ)ποδοκιμάσειεν* (σελ. 138, 9)· ἔτι δὲ *σφόδρ' εὐδοκιμηκώς* (σελ. 37, 2), *ἔπειτ' ἄν* (σελ. 108, 4), *ἔπειτ' ἄρχων* (σελ. 156, 2), *ἔπειθ' οἱ πωληταί* (σελ. 119, 13), *μάλισθ' ὅσαι* (σελ. 117, 17). Ἐλέχθη δ' ὑπὸ τοῦ Ἀριστοτέλους καὶ *ἐν πένθ' ἡμέραις* (σελ. 51, 15) κατ' ἔκθλιψιν τοῦ Ε, καὶ *τοὔτ' ἔδρων* (σελ. 95, 3) κατ' ἔκθλιψιν τοῦ Ο, κτλ.

Γελοῖον εἶνε τὸ «συλλέγεται *τὸ δ'* ἔλαιον». Γραπτέον «συλλέγεται *δὲ τὸ* ἔλαιον».

Περὶ τοῦ τύπου *ἐλαίαν* καὶ περὶ τοῦ *ἐλαίαν μορίαν* θὰ διαλάβωμεν ἐν τῷ Δευτέρῳ Μέρει.

Ἁπλούστατον πρᾶγμα ἡμῖν φαίνεται νὰ νοήσῃ τις ὅτι δὲν ἔχει ὑγιῶς τὸ «καὶ εἰ καταγνοίη, θανάτῳ ΤΟΥΤΟΝ ἐζημίουν». Ἀποβαίνει δ' ἡ ῥῆσις ἄμεμπτος, ἂν γραφῇ «καὶ εἴ *του* καταγνοίη, θανάτῳ *τοῦτον* ἐζημίουν» ἢ «καὶ *ὅτου* καταγνοίη, θανάτῳ *τοῦτον* ἐζημίουν». Πρβ. σελ. 61, 4 «τῶν ἄλλων εἴ *τις* δοκοίη μείζων εἶναι μεθίσταντο» καὶ σελ. 138, 9 «πρότερον μὲν οὐκ ἦρχεν *ὅντιν'* ἀποδοκιμάσειεν ἡ βουλή». Ὁμοίαν δὲ χρῆσιν τῆς εὐκτικῆς βλέπει τις καὶ ἐν σελ. 45, 1 καὶ ἐν σελ. 96, 10.

σελ. 149, 12 «ἔστι γὰρ ἆθλα τοῖς μὲν τὴν μουσικὴν νικῶσιν ἀργύρια καὶ χρυσᾶ, τοῖς δὲ τὴν εὐανδρίαν ἀσπίδες».

Λέγεται ἑλληνιστὶ *νικῶ ἀγῶνα*, *πυγμήν*, *πάλην*, *παγκράτιον*, *τραγῳδίαν*, κτλ., *νικῶ δίκην*, κτλ. Ἀπαντᾷ δὲ καὶ τὸ *νικῶ τινα στάδιον*, *νικῶ τινα παγκράτιον*, *νικῶ τινα Πύθια*, κτλ.

Νομίζομεν δ' ὅτι εὐλόγως ἔχει νὰ τραπῇ τὸ *χρυσᾶ* εἰς τὸ *χρυσία*. Ἴδε τὸ Δεύτερον Μέρος.

σελ. 150, 1 «καὶ τούτους διατάττουσι τῇ χειροτονίᾳ, ἕνα μὲν ἐπὶ τοὺς ὁπλίτας, ὃς ἡγεῖται τῶν δ(ημο)τῶν ἂν ἐξίωσι (γρ. ἐξίωσιΝ), ἕνα δ' ἐπὶ τὴν χώραν ὃς φυλάττει, κἂν πόλεμος ἐν τῇ χώρᾳ γίνηται πολεμεῖ οὗτος».

Ἄτοπον εἶνε τὸ ῥῆμα *πολεμεῖ* ἐν τῷ προκειμένῳ χωρίῳ· ἴσως δ' ἐλέχθη ὑπὸ τοῦ Ἀριστοτέλους «*πολεμαρχεῖ* οὗτος», τουτέστι: τελεῖ τὰ τοῦ πολεμάρχου.

Περὶ τοῦ *ἐξιέναι - ἔξοδος* κειμένου ἀντὶ τοῦ *στρατεύεσθαι - στρατεία* θὰ εἴπωμεν τὰ δέοντα ἑτέρωθι.

σελ. 151, 1 «ἕνα δ' ἐπὶ τὰς συμ(μο)ρίας ὃς τούς τε τριη-

ράρχους καταλέγει καὶ τὰς ἀντιδόσεις αὐτοῖς ποιεῖ καὶ τὰς διαδικασίας αὐτοῖς εἰσάγει».

Παρατηρήσεως ἀξία εἶνε ἡ μετὰ δοτικῆς σύνταξις τοῦ *εἰσάγειν*. Φέρεται καὶ παρὰ τῷ Πλάτωνι Ἀπολ. σελ. 24 δ' «ἐμὲ εἰσάγεις *τουτοισὶ* καὶ κατηγορεῖς», ἀνθ' οὗ ὁ Κόβητος ἔγραψεν «ἐμὲ εἰσάγεις εἰς τουτουσί» ἐξαλείψας τὸ *καὶ κατηγορεῖς* (ἐν *Var. Lect.* σελ. 299. Πρβ. καὶ *Mnemos.* 1860, σελ. 442). Τῷ Κοβήτῳ ἠναντιώθη ὁ Σταλβαύμιος ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος (Πρβ. καὶ Γεβαυῆρον εἰς *Λυσ.* Τόμ. Α', σελ. 323). Ἐν τοῖς εἰς Πλάτωνα Σχολίοις Νόμ. σελ. 920 δ' κεῖται «διαιτηταί εἰσιν *ἐν οἷς* Ἀθήνησιν εἰσήγοντο αἱ ἰδιωτικαὶ δίκαι»· γραπτέον δ' ἴσως «διαιτηταί εἰσιν *οἷς* Ἀθήνησιν εἰσήγοντο κτέ.»

σελ. 151, 6 «κἄν τινα ἀποχειροτον(ή)σωσιν, κρίνουσιν ἐν τῷ δικαστηρίῳ, κἂν μὲν ἁλῷ, τιμῶσιν ὅ τι χρὴ παθεῖν ἢ ἀποτ(ῖσ)αι, ἂν δ' ἀποφύγῃ τὰ (λοιπὰ) ἄρχει. κύριοι δέ εἰσιν ὅταν ἡγῶνται καὶ δῆσαί τιν' ἀτακτοῦντα καὶ (κη)ρῦξαι καὶ ἐπιβολὴν ἐπιβάλλειν· οὐκ εἰώθασι δὲ ἐπιβάλλειν».

Σκοπὸς τοῦ συγγραφέως ἦτο πάντως νὰ εἴπῃ «ἂν δ' ἀποφύγῃ, *ἀναλαμβάνει τὴν ἀρχήν*» (ἢ : *ἀναλαμβάνει πάλιν τὴν ἀρχήν*). Τὴν ἔννοιαν δὲ ταύτην παρέστησε πιθανώτατα διὰ τοῦ (*πάλιν*) *ἄρχει*.

Κατὰ τὴν ἡμετέραν γνώμην ἔγραψεν ὁ Ἀριστοτέλης (ὡς παρετηρήσαμεν καὶ ἐν τῇ Ἐθνικῇ καλουμένῃ ἐφημερίδι ἔτει 1891, Μαΐου 6) «δῆσαί τιν' ἀτακτοῦντα καὶ *εἶρξαι* καὶ ἐπιβολὴν *ἐπιβαλεῖν*». Τοῦ *ἐπιβολὴν ἐπιβάλλειν* ἐποιήσατο καὶ ὁ Ξενοφῶν χρῆσιν καὶ ἄλλοι.

Περὶ τοῦ *ἁλίσκεσθαι* καὶ *ἀποφεύγειν* θὰ γράψωμεν ἀλλαχοῦ. Τὸ *παθεῖν ἢ ἀποτῖσαι* (*ἀποτεῖσαι*) ἀπαντᾷ καὶ ἐν σελ. 158, 6 «ὅ τι ἂν δοκῇ ἄξιος εἶναι *παθε(ῖν) ἢ ἀποτῖσαι* (*ἀποτεῖσαι*)». Πρβ. καὶ Πλάτ. Πολιτικ. σελ. 299 α' «ὅ τι χρὴ *παθεῖν* αὐτῶν τινας *ἢ ἀποτίνειν*» καὶ Δημοσθέν. σελ. 523, 25 «ὅ τι χρὴ *παθεῖν ἢ ἀποτῖσαι* (*ἀποτεῖσαι*)», κτλ. Ἴδε Σταλβαύμιον εἰς *Πλάτ. Ἀπολογ.* σελ. 36 β'.

σελ. 158, 2 «ὅσοι αὐτῶν (μ)ὴ ὀφείλουσιν τῷ δημοσίῳ ἢ ἄτιμοί εἰσιν».

Ἡ διὰ τοῦ *μή* δηλουμένη ἀπόφασις νοεῖται καὶ ἐπὶ τοῦ *ἢ ἄτιμοί εἰσιν*» (=ἢ μὴ ἄτιμοί εἰσιν). Ἴδε Ἀθηνᾶν Τόμ. Β', σελ. 462 κέξ.

σελ. 159, 6 «ἐπειδὰν δὲ ὁ θεσμοθέτης ἐπικληρώσῃ τὰ γρ(άμ)ματα ἃ δεῖ προσπαραγίνεσθαι τοῖς δικαστηρίοις, ἐπέθηκε φέρων ὁ ὑπηρέτης ἐφ' ἕκαστ(ον δικ)αστήριον τὸ γράμμα τὸ λαχόν».

Ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις φέρεται σελ. 340, 24 «Εἶτα οἱ θεσμοθέται κατὰ φυλὴν ἕκαστος καὶ δέκατος ὁ γραμματεὺς ἐκλήρουν τὰ γράμματα μέχρι τοῦ Κ· καὶ τὰ λαχόντα ἴσα τὸν ἀριθμὸν τοῖς μέλλουσι κληροῦσθαι δικαστηρίοις ὑπηρέτης φέρων ἐτίθει καθ' ἕκαστον δικαστήριον ἕν» (Πρβ. Σχοιμαννὸν ἐν *Opusc. Academ.* Τόμ. Α', σελ. 206-7). Γραπτέον δὲ «τοῖς μέλλουσι *πληροῦσθαι* δικαστηρίοις». Πρβ. Ἀριστ. Ἀθην. Πολιτ. σελ. 158, 1 καὶ σελ. 162, 24.

Περὶ τῆς χρήσεως τῆς μετοχῆς *φέρων* μετὰ χρόνου ἀορίστου, *ἐπέθηκε φέρων*, *ἐπέστησα φέρων*, κτλ., *δὸς φέρων*, κτλ. θὰ γράψωμεν τὰ δέοντα ἐν ἑτέρῳ τόπῳ.

Ἐν Ἀθήναις τῇ 10 Αὐγούστου 1891.

ΚΩΝΣΤΑΝΤΙΝΟΣ Σ. ΚΟΝΤΟΣ.

Ἐδήλωσα ἐν σελ. 28 καὶ 168 ὅτι πρὸς ἐπανόρθωσιν τοῦ χωρίου τῆς Ἀριστοτέλους Ἀθηναίων Πολιτείας «ἐπὶ δὲ τὴν ἀπόστασιν τὴν τῶν Ἰώνων καὶ τὴν τῶν Λακεδαιμονίων συμμαχίαν Ἀριστείδης ἦν ὁ προτρέψας» καὶ τοῦ «οὐδεὶς τὴν α(ἰτί)αν δ(ύναται ἐ)μβαλεῖν αὐτῷ» τῇ αὐτῇ ἐχρησάμην θεραπείᾳ, ᾗ καὶ ὁ Βασίλειος Λάκων. Ἔγραψεν ὁ ἀνὴρ *Διορθώσεις καὶ Συμπληρώσεις εἰς τὴν Ἀριστοτέλους Ἀθηναίων Πολιτείαν*, αἳ κατεχωρίσθησαν εἰς τὴν Ἐφημερίδα· ἔγραψε δ' αὐτὰς τῇ 11ῃ Μαρτίου τοῦ 1891ου ἔτους. Γινώσκων δ' ὅτι κατ'

οὐδένα τρόπον εἶνε δεκτὴ εἰς τὴν ἐμὴν οἰκίαν ἡ Ἐφημερίς, ἀποκόψας ἐξ αὐτῆς τὸ μέρος τὸ περιέχον τὰ ὑπ' αὐτοῦ γεγραμμένα καὶ ἐνθεὶς χαρτίνῳ περιβλήματι ἔπεμψε πρός με. Παλαιὰ καὶ ἰσχυρὰ φιλία συνάπτει ἐμὲ καὶ τὸν Λάκωνα, ὑπερβαλλόντως δ', ὡς εἰκός, τιμῶμεν ἀλλήλους καὶ προθυμούμεθα πάντα τρόπον νὰ εὐαρεστῶμεν ἀλλήλοις. Καὶ εἶνε μὲν ὁ Λάκων καθηγητὴς τῶν μαθηματικῶν, ἀλλ' ἡδέως διατρίβει καὶ περὶ τὰ Ἑλληνικὰ γράμματα, πολλάκις δὲ συνεφιλολογήσαμεν καὶ πολλὰ τῆς τε παλαιᾶς καὶ τῆς νέας γλώσσης κοινῇ ἐξητάσαμεν. Χαίρω δὲ μεγάλως ὅτι καὶ περὶ τὴν κριτικὴν εὐδοκιμεῖ ὁ ἐμὸς φίλος καὶ εὐστόχους προβάλλεται εἰκασίας πρὸς ἴασιν νοσούντων χωρίων.

Ἔγραψα ἐν σελ. 162 ὅτι ὁ Φραιγκέλιος ἔτρεψε τὸ ἐν τῇ Ἀθηναίων Πολιτείᾳ τοῦ Ἀριστοτέλους ὑπὸ τοῦ Κενύωνος ἐκδεδομένον *ὑφ' (ᾧ) τὰ ταμιεῖα* εἰς τὸ *ἐφ' οὗ τὰ τόμια*, ὡς μετέγραψεν ὁ Βέργκιος τὸ ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους βιβλ. Η', 86 *ὑφ' ᾧ τὰ ταμιεῖα*. Τὴν ὑπὸ τοῦ Βεργκίου γενομένην διόρθωσιν τοῦ χωρίου τοῦ Πολυδεύκους ἐγίνωσκον ἀπὸ πολλοῦ· ἐν ᾧ δ' ἔμελλον νὰ θεραπεύσω ὁμοίως τὸ τοῦ Ἀριστοτέλους, ἔμαθον ὅτι ἐποιήσατο αὐτοῦ ἐπανόρθωσιν ὁ Φραιγκέλιος. Καθ' ὃν χρόνον συνέταττον τὸ Πρῶτον Μέρος τῶν εἰς Ἀριστοτέλους Ἀθηναίων Πολιτείαν Παρατηρήσεων, ἀπέστειλέ μοι ὁ ἐλλογιμώτατος Δίλσιος τρεῖς αὐτοῦ πραγματείας ἐν χαρτίνῳ καλύμματι ἐνειλημένας· ἦτο δ' ἐν αὐτῷ καὶ τόδε τεθειμένον· *Separat-Abdruck aus der Deutschen Zeitschrift für Geschichtswissenschaft*· ἐκ σελ. 6 συγκείμενον, δηλ. 163-168, καὶ περιέχον ἐν σελ. 164-167 διάληψιν τοῦ Φραιγκελίου περὶ τῆς Ἀριστοτέλους Ἀθηναίων Πολιτείας. Ἐν σελ. 166 κεῖται σημείωσις, ἐν ᾗ καὶ ἄλλα χωρία ἐκφέρει ὁ Φραιγκέλιος ὡς νομίζει ὅτι ἦσαν ὑπὸ τοῦ Ἀριστοτέλους γεγραμμένα καὶ τὸ *ὑφ' ᾧ τὰ ταμιεῖα* μεταβάλλει εἰς τὸ *ἐφ' οὗ τὰ τόμια*.

Σημειοῦνται δ' ὅμως οἱ σοφοὶ Ὀλλανδοὶ *Herwerden* καὶ *Leeuwen* ἐν ᾗ ἐφιλοπόνησαν ἐκδόσει τῆς Ἀριστοτέλους Ἀθηναίων Πολιτείας σελ 134 ὅτι ἐν τῷ ἀντιγράφῳ κεῖται οὐχὶ *υφ . . τα ταμι*, ὡς λέγει ὁ Κενύων, ἀλλὰ *εφ ο. τα τομι*, τουτέστιν *ἐφ' ο(ὗ) τὰ τόμι'*.

Καλὸν φαίνεταί μοι νὰ μετενεχθῶσιν εἰς τὴν Ἀθηνᾶν τὰ ἐν τῇ Ἐθνικῇ καλουμένῃ ἐφημερίδι κατακεχωρισμένα τῇ 2ᾳ Ἀπριλίου τοῦ 1891ου ἔτους. Εἶνε δὲ τὰ ὑποτεταγμένα.

Ἐν τῇ τελευταίᾳ συνεδρίᾳ τῶν ἑταίρων τῆς Ἐπιστημονικῆς Ἑταιρείας ὁ πρόεδρος αὐτῆς κ. Κ. Σ. Κόντος ἐποιήσατο γραμματικὰς καὶ κριτικὰς παρατηρήσεις εἰς τὴν Ἀθηναίων Πολιτείαν τοῦ Ἀριστοτέλους, διώρθωσε δὲ καὶ συνεπλήρωσε πάμπολλα χωρία, ἐξ ὧν ἀναγράφομεν τάδε (κατὰ τὴν γενομένην ὑπ' αὐτοῦ ἀνάγνωσιν).

σελ. 1, 2: (οἱ νεκρ)οὶ μὲν κτέ.

2, 6: ἦν γὰρ (τότε) ἡ πολιτεία (τοῖς τ')ἄλλοις ὀλιγαρχικὴ πᾶσι.

3, 13: Ἦν δ' ἡ τάξις τῆς ἀρχαίας πολιτείας τῆς πρὸ Δράκο(ντος τοιάδε)· τὰς μὲν ἀρχὰς (καθί)στασαν.

5, 3: διὰ τὸ γίνεσθαι.

6, 3: ὀμνύουσι—(τῆς πόλεως ἄρΞ)ειν,

6, 18: συνῄεσαν (ἢ συνῇσαν) δ' οὐχ ἅμα πάντες οἱ ἐννέα ἄρχοντες.

11, 3: ἐλευθέρΑΝ.

14, 8: τῇ μὲν φύσει καὶ τῇ δόξῃ.

15, 5: ἐς κόρον ἠλάσατε.

15, 7: οὔθ' ὑμῖν ἄρΚια τα(ῦτ') ἔσεται.

15, 17: πειρῶνταί τι(νες) διαβάλλειν.

16, 7: γΕνομένης

16, 12: τοὺς (ἑτέρ)ους ὑποποιησάμενον κτέ.

16, 19: μέμνηΤΑΙ.

20, 8: ζευγίσιον δ' ἔ(δει) τελεῖν.

20, 10: ἐπειδὰν ἔρηταί (τις) τὸν μέλλοντα.

25, 4: ὁρῶν δὲ τὴν μὲν πόλιν πολλάκις στασιάζουσαν, τῶν δὲ πολιτῶν ἐνίους διὰ τὴν ῥαθυμίαν (ἀγαπῶ)ντας (ἢ στέργοντας) τὸ αὐτόματον νόμον ἔθηκε πρὸς αὐτοὺς ἴδιον, ὃς ἂν στασιαζούσης τῆς πόλεως

μ(ὴ τιθ)ῆται τὰ ὅπλα μηδὲ μεθ' ἑτέρων.

σελ. 27, 7: ποιῆσ(αι τὴν τῶν χρε)ῶν ἀποκοπήν.

29, 12: καὶ πάλιν δ' ἄλλοθί που λέγει.

30, 4: ὥστε δήϊΟΝ.

32, 8: διαφάδην ὀνειδίσαι (Πρβ. Βέργκιον ἐν τῇ Δ' Ἐκδόσει τῶν Λυρικῶν Ποιητῶν Τόμ. Γ', σελ. 40).

36, 6: προσεκεκόλληντο.

36, 9: μετὰ τὴν (τῶν) τυράννων κατάπαυσιν ἐποίησαν διαΨηφισμόν.

39, 1: ἐπεὶ δὲ λέγων (οὐκ ἔπει)θεν.

42, 13: γεγωνῇ.

42, 15: οἱ ἐπὶ τούτῳ τεταγμένοι.

43, 3: (αὐτὸς ἐπι)μελήσεσθαι.

43, 14: διεσπαρμένοι κατὰ τὴν χώραν (ὦσι). Γρ. διεσπαρμένοι (ὦσι) κατὰ τὴν χώραν.

44, 16: διὸ καὶ πολλάκις (ἔπειτ' ἐλέγ)ετο.

44, 26: διὸ καὶ πολὺν χρόνον ἔμεινε(ν ἐν τῇ ἀρχῇ· ἐπεί τ') ἐκπέσοι, πάλιν ἈΠελάμβανε ῥᾳδίως.

45, 3: τοὺς μὲν γὰρ ταῖς ὁμιλίαις, τοὺς δὲ ταῖς εἰς τὰ ἴδια βοηθείαις (προσῆκτο).

45, 17: διὸ καὶ φανερῶς ληροῦσι(ν οἱ) φάσκοντες.

47, 9: ἤδη δ' ἐ(πιτη)ροῦντες ἐν ἀκροπόλει τοῖς Παναθηναίοις Ἱππίαν (ἐτύγχανεν γὰρ οὗτος μὲν δεχόμενος, ὁ δ' Ἵππαρχος ἀποστέλλων τὴν πομπήν).

48, 19: ἐναγεῖς.

49, 22: δι' αὐτῶν.

51, 12: συνέπεσεν ὙΠεξιόντας ἁλῶναι τοὺς τῶν Πεισιστρατιδῶν υἱεῖς.

52, 8: ὁ δὲ Ἰσαγόρας ἈΠΟλειπόμενος τῇ δυνάμει· καὶ ἐν σελ. 76, 5 ἀναγνωστέον ἈΠΟλειπόμενος καὶ ἐν σελ. 93.5 ἈΠΟλείπεσθαι.

σελ. 53, 19: πρῶτον μὲν συνένειμε πάντας.
57, 9: ἐφ' ῾ΕρμΟκρέοντος.
63, 1: οὐ λέγων ὅ τι χρήσεται τοῖς χρήμασιν.
64, 7: τετάρτῳ δ' ἔτει ΚΑΤεδέξαντο πάντας τοὺς ὠστρακισμένους.
66, 5: ὁ μὲν τὰ πολέμια δοκῶν, ὁ δὲ τὰ πολιτικὰ δεινὸς εἶναι.
66, 10: ἐπὶ δὲ τὴν ἀπόστασιν τὴν τῶν Ἰώνων ἀπὸ τῆς τῶν Λακεδαιμονίων συμμαχίας.
γῆ. Ἰω. Ἀλεξ. Τον. Παραγγ. σελ. 8, 5 «Τὰ εἰς Η ἐκ συναιρέσεως περισπᾶται· *γέα γῆ*, νέα νῆ, πλέα πλῆ». Στέφ Βυζ. σελ. 206, 17 «*Γῆ*, ἀπὸ τοῦ *γέα* κραθέν». Θεόγνωστ. Καν. σελ. 102, 21 «Τὸ γὰρ *γέα γῆ* διὰ τοῦ Ε ψιλοῦ γραφόμενον καὶ εἰς Η συναιρούμενον δῆλόν ἐστιν ὡς ἑτέρῳ κανόνι ὑπείκει». Χοιροβοσκ. Ἐπιμ. εἰς τὸ Ψαλτ. σελ. 58, 15 «*Γῆ* πόθεν γίνεται; Παρὰ τὸ *γέα* κατὰ συναίρεσιν του Ε καὶ Α εἰς Η, *γῆ*· τὸ δὲ γέα παρὰ τὸ γῶ τὸ χωρῶ, ἡ πάντας χωροῦσα». Εὐστάθ. σελ. 1392, 24 «παρὰ τὴν ψιλογραφουμένην *γέαν*, ἧς συναίρεμα ἡ *γῆ*».

Ὁ ἑνικὸς ἀριθμὸς *γῆ* ἀπαντᾷ συχνάκις ἔν τε τῷ πεζῷ καὶ τῷ ποιητικῷ λόγῳ, *ὅ τ' ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσός*, κτλ., *γῆν πρὸ γῆς*, κτλ. Πρβ. καὶ Μειστεράνσιον ἐν *Γραμματ. τῶν Ἀττ. Ἐπιγρ.* σελ. 97 ἐκδ. β΄.

Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Διονύσιον Παρεκβολαῖς σελ. 226, 11 «Ἄλλως γὰρ μοναδικός ἐστιν ὁ ἥλιος καὶ διὰ τοῦτο οὐ θέλει ἐν τῷ κλίνεσθαι πληθύνεσθαι, ὥσπερ οὔτε ἡ *γῆ*, κἂν αἱ χῶραι *γαῖαι* λέγωνται, ὡς μετὰ ταῦτα φανήσεται, οὔτε ἡ ἅλς, κἂν τὰ πελάγη θαλάσσας ὁμοίως λεγομένας ἀκούωμεν» καὶ σελ. 372, 28 «Ὅτι τὰς χώρας *γαίας* λέγει ἐν τῷ *γαιάων Ἀσίης*· καὶ παρακατιὼν φησι *γαῖαν ἑκάστην* ἤτοι χώραν. Οὕτω δὲ ποιεῖ καὶ Ὅμηρος ἐν τῷ *οὐδέ τις* (*ἄλ-*

λη) φαίνετο γαιάων. Αὐτὴ μέντοι ἡ γῆ τὸ στοιχεῖον οὐ πληθύνεται διὰ τὸ μοναδικόν» καὶ ἐν ταῖς εἰς Ὅμηρον σελ. 1598, 46 «Τὸ δὲ *γαιάων* πληθυντικῶς καὶ νῦν καὶ ἐν τοῖς μετὰ ταῦτα δὲ παρὰ τῷ ποιητῇ κεῖται, εἰ καὶ οἱ μεθ' Ὅμηρον σημειοῦνται μὴ εἶναι πληθυντικὸν ἀριθμὸν τῆς γῆς, ὥσπερ οὐδὲ τοῦ ἡλίου διὰ τὸ μονήρη αὐτὰ εἶναι· ἀλλ' ἡ κοινὴ συνήθεια ἐν τούτοις οὐχ ὑπακούει αὐτοῖς *γαίας* τὰς νήσους νοοῦσα. Οἱ μέντοι Λύκιοι καὶ ἄλλως ἐθέλοντες εἰπεῖν τὰς ἄνω χώρας *τὰς ἄνω γᾶς* λέγουσιν» καὶ σελ. 1676, 25 «Τὸ μέντοι εἰπεῖν ἅλεσσι ταῖς θαλάσσαις οὐδόλως προσδέδεκται διὰ τὸ τὴν κλίσιν τῆς ἁλὸς μὴ διαβαίνειν ἐπέκεινα τῶν ἑνικῶν ὁμοίως τῇ *γαίᾳ*· ἐκείνη γὰρ καὶ εἰς πληθυντικὰ μεταβαίνει, ὡς πολλαχοῦ φαίνεται» καὶ σελ. 1728, 50 «Ὅρα δὲ ὅτι *γαιάων* ἔφη πληθυντικῶς, εἰ καὶ ἀρέσκει τοῖς παλαιοῖς μὴ εἶναι πληθυντικὸν τῆς γῆς, ὥσπερ οὐδὲ τῆς ἁλός. Δοκεῖ δὲ τὰς νήσους οὕτω λέγειν, ὡς δηλοῖ καὶ τὸ Κρήτη τίς ἐστι γαῖα μέσῳ ἐν πόντῳ».

Ἡ πληθυντικὴ γενικὴ τοῦ δισυλλάβου *γαῖα* εὑρέθη ἐν τρισὶ τόποις τῆς Ὀδυσσείας, Θ, 284 καὶ Μ, 404 καὶ Ξ, 302. Ἐν τῷ εἰς Ἀπόλλωνα Ὁμηρικῷ Ὕμνῳ στίχ. 46 φέρεται ὁ τύπος *γαιέων*. Πρβ. *πυλάων - πυλέων*, κτλ. Ἐλέχθη δὲ καὶ ἐν τοῖς εἰς Θουκυδίδην Σχολίοις βιβλ. Α'. 2 «τὰς ἀρίστας τῶν *γαιῶν*» καὶ ἐν Βασιλειῶν Τετάρτῃ κεφ. ΙΗ', 35 «ἐν πᾶσι τοῖς θεοῖς τῶν *γαιῶν*» καὶ ἐν Ψαλμῷ ΜΗ', 12 «ἐπὶ τῶν *γαιῶν* αὐτῶν». Πρβ. καὶ Ἐράν. Φίλ. σελ. 169 Βαλκεν. «Πορθμὸς δὲ ἡ μέσον δύο *γαιῶν* θάλασσα» (Ἴδε Βαλκενάριον ἐν *Σημειώσ. εἰς Ἡρόδ.* σελ. 561 Γαισφ. Πρβ. καὶ Θησ. Στεφ. Τόμ. Β', σελ. 488).

Παραδείγματα τοῦ πληθυντικοῦ ἀριθμοῦ τοῦ μονοσυλλάβου *γῆ* ἔχομεν τάδε.

Δημήτρ. περὶ Ἑρμην. 225 «ὥσπερ ὁ Ἀριστοτέλης πρὸς Ἀντίπατρον ὑπὲρ τοῦ φυγάδος γράφων τοῦ γέροντός φησιν· εἰ δὲ πρὸς ἁπάσας οἴχεται *γᾶς* φυγὰς οὗτος κτέ.». Ἡ παραδεδομένη γραφὴ εἶνε «εἰ δὲ πρὸς ἁπάσας οἴχεται τὰς φυγὰς οὗτος», ἀποκατέστησε δὲ τὴν ἀληθῆ ὁ Βαλκενάριος ἐν ταῖς εἰς Ἡρόδοτον Σημειώσεσι σελ. 561 Γαισφ.

Ψευδαριστοτέλ. Προβλημ. ΚΓ', 29 «διὰ τί αἱ κυματωδέστεραι *γαῖ* στερραὶ γίνονται, κτέ.;»

Στράβ. σελ. 126 «ὑπογραπτέον δὲ καὶ τὰς περιεχούσας αὐτὴν *γᾶς*».

Γαλην. Τόμ. ΙΒ', σελ. 185 «ἡ καταλειπομένη παραπλησία ταῖς ἄλλαις *γαῖς* ἐστιν». Πρβ. καὶ σελ. 165 «περὶ τῶν *γῶν*».

Βασιλ. Δ', ιη', 35 «οἳ ἐξείλαντο τὰς *γᾶς* αὐτῶν ἐκ χειρός μου».

Ἐτυμ. Μέγ. σελ. 43, 54 «τὰς ἑαυτῶν *γᾶς* ἐγεωμέτρουν».

Σχολ. Αἰσχύλ. σελ. 267, 21 Δινδ. «ὅρους ταῖς αὐτῶν *γαῖς* ἐπιθεῖναι σπουδάζοντες».

Σχολ. Εὐριπ. Τόμ. Γ', σελ. 182,6 Δινδ. «γύας: *γᾶς*». Ἐν σελ. 181,10 φέρεται διττὴ γραφή, «ἐπινέμεται τὰς *γύας* τῆς Δίρκης» καὶ τὰς *γᾶς*, ὡς καὶ ἐν σελ. 181,15 «ταῖς βαθυσπόροις ἐπεμβαίνει *γύαις*» καὶ *γαῖς*. Ὁ Βαλκενάριος γράφει ἐν τῇ ἐκδόσει τῶν Εὐριπίδου Φοινισσῶν Τόμ. Β', σελ. 123 Λιψ. «Scholii vocem postremam γαῖς ne quis in γύαις transmutandam putet, impediet usus recentiorum plebeius: *Eustathius* in Od. Θ. p. 311,45. οἱ Λύκιοι, ἐθέλοντες εἰπεῖν τὰς ἄνω χώρας, τὰς ἄνω γᾶς λέγουσι — Sæpius ista forma plurativa recurrit in *Aquilæ* reliquiis versionis Antiqui Fœderis. Γαιῶν semel legitur apud *Herodot.* IV, c. 198».

Ἀπαντᾷ δὲ τὸ *γᾶς* καὶ ἐν Δωρικῇ (Ῥοδίᾳ) ἐπιγραφῇ κατακεχωρισμένῃ ἐν τῷ Δελτίῳ τῆς Ἑλληνικῆς Ἀλληλογραφίας 1880, σελ. 139 «τὰς *γᾶς* τὰς ἐν Ῥογκ(ύ)ῳ».

Τὸ παρὰ τῷ Ἡσυχίῳ «*Γωνορίσματα*: γνωρίσματα, τοποθεσίαι» ἀνεγνώσθη ὑπὸ τοῦ Σχαιφήρου ἐν *Μελετήμ. Κριτ.* σελ. 15 κατὰ διάστασιν: *Γῶν ὁρίσματα*. Πρβ. καὶ Βάστιον εἰς *Γρηγ. Κορ.* σελ. 155 Σχ.

Τὸν δυϊκὸν ἀριθμὸν *γαῖν* βλέπει τις παρὰ τῷ Αἰσχύλῳ Πέρσ. 736 «γέφυραν *γαῖν* δυοῖν ζευκτηρίαν». Τἀντίγραφα ἔχουσι «γέφυραν *ἐν* δυοῖν ζευκτηρίαν». Ἴδε Ἑρμαννὸν εἰς *Αἰσχύλ.* Τόμ. Β', σελ. 236. Ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ κεῖται σελ. 229,46 «Ἡ γῆ. Καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν; Οὐκ ἔχει· μάχεται ἡ κλίσις τοῦ ὀνόματος, τῆς φύσεως μὴ ἀπαιτούσης». Πρβ. καὶ Χοιροβοσκ. Ἐπιμερ. εἰς τὸ Ψαλτήρ. σελ. 58,29.

Ὁ Ἀντιαττικιστὴς γράφων σελ. 86,32 «*Γῆν* ἀξιοῦσιν ἀεὶ λέγειν ἑνικῶς, μηδέποτε δὲ πληθυντικῶς. Ἡρόδοτος πρώτῳ» ἐμφαίνει ὅτι ὁ Ἡ-

ρόδοτος ἐποιήσατο χρῆσιν τοῦ πληθυντικοῦ ἀριθμοῦ τοῦ ὀνόματος γῆ. Ἀπαντᾷ δ' ἀληθῶς παρὰ τῷ συγγραφεῖ τούτῳ βιβλ. Δ', 198 «αὕτη δὲ ὁμοίη τῇ ἀρίστῃ *γέων* Δήμητρος καρπὸν ἐκφέρειν» (Πρβ. Ἐλμσλήϊον εἰς *Εὐριπ. Μήδ.* σελ. 144 καὶ Βάστιον εἰς *Γρηγ. Κορ.* σελ. 155). Φέρεται δὲ καὶ γραφὴ *γαιῶν* καὶ *γεῶν*. Ὁ Βαλκενάριος ἀποφαίνεται ἐν *Σημειώσ. εἰς Ἡρόδ.* σελ. 561 Γαισφ. «multum me judice præstat γεῶν, munitum auctoritate Democriti in Diss. Herod. p. 183». Τὸ πρᾶγμα θὰ ἐξετάσωμεν ἀκριβέστερον ἐν τοῖς ἔπειτα.

Ἐν ἐπιγράμματι τοῦ Κριναγόρου Ἀνθολ. Παλατ. Θ', 430, 8 κεῖται «ἄλλα γὰρ ἀλλοῖαι πάντα φέρουσι *γέαι*». Σημειοῦται δὲ περὶ αὐτοῦ ὁ Δυβνῆρος ἐν τῇ ἐκδόσει τῆς Παλατίνης Ἀνθολογίας Τόμ. Β', σελ. 215-6 τάδε· γέαι Cod.; γύαι. O. Schneiderus et Boiss., qui haec annotat: «Pro γέαι forsan γύαι. Gregor. Naz. t. II, p. 32: οὐ γῆς πυροφόρου γυίαι καὶ ἄλσεα καλά. Codex 993 πυροφόροιο γυίαι. Scribendum videtur γύαι. Est tamen dubitandi locus de feminina forma γύα». Apud Atticos quidem. Ὁ Κόβητος λέγει ἐν *Μνημοσ.* 1877, σελ. 98-9 «ne Græcum quidem est γύη, sed ὁ γύης et οἱ γύαι, quod *iugera* et *arva* significat». Πλείονα περὶ τούτου θὰ γράψωμεν ἑτέρωθι.

Ἐν τοῖς τοῦ Δημοκρίτου παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ σελ. 357 εἶνε γεγραμμένον «καὶ ἀέρας τε καὶ *γέας* πλείστας εἶδον», ὃ ὁ Κόβητος ἐν *Λογ. Ἑρμ.* Τόμ. Α', σελ. 213 καὶ 531 νομίζει ἡμαρτημένην ἀνάγνωσιν τοῦ *γαίας*. Τὴν ἐκφορὰν δὲ ταύτην βλέπομεν παρὰ τῷ Εὐσεβίῳ μνημονεύοντι τὰ τοῦ Δημοκρίτου ἐν Προπαρ. Εὐαγγελ. Ι', δ', 23 (Πρβ. καὶ Act. Sem. Phil. Erl. Τόμ. Ε', σελ. 258). Παρὰ τῷ Σωζομενῷ ἀπαντᾷ σελ. 182 «Δημόκριτος — πλείστας ἱστόρησε πόλεις ἀέρα τε καὶ χώρας καὶ ἔθνη».

Τὴν πληθυντικὴν αἰτιατικὴν *γέας* εὕρομεν καὶ ἐν ἐπιγραφῇ Χίᾳ κατακεχωρισμένῃ ἐν τῷ Δελτίῳ τῆς Ἑλληνικῆς Ἀλληλογραφίας 1879, σελ. 233 «τὰς *γέας* καὶ τὰς οἰκιέας ἐπρίαντο» καὶ ἐν ἐπιγραφῇ τῆς Ἁλικαρνασσοῦ κειμένῃ ἐν τῷ αὐτῷ Δελτίῳ 1880, σελ. 302 «οἵδε ἐπρίαντο — *γέας* καὶ οἰκίας». Πρβ. Συλλ. Ἐπιγρ. Ἑλλ. Διττεμβ. 113, 40 «δημόσιαι *γέαι*» (Ἴδε καὶ Διττεμβεργῆρον ἐν *Συλλ. Ἐπιγρ. Ἑλλ.* σελ. 13).

Σημειωτέον δ' ὅτι περὶ τῶν τύπων *πλῆ* καὶ *νῆ*, ὧν ποιεῖται μνείαν Ἰωάννης ὁ Ἀλεξανδρεύς, γράφει ὁ Ἡρῳδιανὸς ἐν τῷ περὶ Μονήρους Λέξεως σελ. 7, 6 «Τὸ δὲ *πλῆ* εἰρημένον παρὰ Διογένει τῷ Ἀπολλωνιάτῃ ἀντὶ τοῦ *πλέη* θηλυκοῦ ἐπιθετικῶς ἄγνωστον τοῖς ἄλλοις. Ἀλλὰ καὶ ἡ *νέα νῆ* εἰρημένον ἐν Σαμίων Ὥροις· τῇ δὲ νῇ τῶν Πυθιογειτόνων τις συγκυρέων ἐλάμβανε· καὶ παρὰ Ἀριστοφάνει ἐν Αἰολοσίκωνι· καί κ' ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο» (Πρβ. Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Ἀποσπασμάτων σελ. 6).

κωλῆ. Εὐστάθ. Παρεκβ. εἰς Ὅμηρ. σελ. 1183, 5 «Λέγουσι δὲ καὶ *κωλῆν* τὸν κωλῆνα οἱ Ἀττικοὶ συναιροῦντες ἐκ τοῦ *κωλέα*. Χρῆσις παρὰ τῷ κωμικῷ· *οἴμοι δὲ κωλῆς*. Καὶ ἔστιν ὡς συκέα συκῆ, λεοντέα λεοντῆ, οὕτω καὶ *κωλέα κωλῆ*» καὶ Παρεκβ. εἰς Διονύσ. σελ. 331, 2 Διδ. «Μέρος δὲ ποδὸς ἐμπροσθίου ἡ *κωλῆ* καὶ περισπᾶται ἀπὸ συναιρέσεως, ὥσπερ γαλέα γαλῆ, οὕτω καὶ *κωλέα κωλῆ*». Ἀθήν. σελ. 368 δ' «Καὶ *κωλῆνα* δὲ λέγουσι καὶ *κωλῆν*. Εὔπολις Αὐτολύκῳ· σκέλη δὲ καὶ κωλῆνες εὐθύτου ῥίφου. Εὐριπίδης Σκίρωνι· οὐδὲ κωλῆνες νεβρῶν. Ἀπὸ δὲ τοῦ *κωλέα* συνῃρημένον ἐστίν, ὡς συκέα συκῆ, λεοντέα λεοντῆ, *κωλέα κωλῆ*. Ἀριστοφάνης Πλούτῳ δευτέρῳ· οἴμοι *κωλῆς*, ἣν ἐγὼ κατήσθιον· καὶ ἐν Δαιταλεῦσιν· καὶ δελφακίων ἁπαλῶν *κωλαῖ* καὶ χναυμάτια πτερόεντα (Κόκκ.: χναυμάτι' *ἱμερόεντα*)· ἐν δὲ Πελαργοῖς· κεφαλάς τ' ἀρνῶν *κωλᾶς* τ' ἐρίφων. Πλάτων Γρυψίν· ἰχθῦς, *κωλᾶς*, φύσκας. Ἀμειψίας Κόννῳ· δίδοται μάλισθ' ἱερώσυνα, *κωλῆ*, τὸ πλευρόν, ἡμίκραιρ' ἀριστερά. Ξενοφῶν Κυνηγετικῷ· *κωλῆν* σαρκώδη, λαγόνας ὑγράς. Καὶ Ξενοφάνης δ' ὁ Κολοφώνιος ἐν τοῖς ἐλεγείοις φησί· πέμψας γὰρ *κωλῆν* ἐρίφου σκέλος ἤραο πῖον ταύρου λαρινοῦ, τίμιον ἀνδρὶ λαχεῖν, τοῦ κλέος Ἑλλάδα πᾶσαν ἐφίξεται οὐδ' ἀπολήξει, ἔστ' ἂν ἀοιδάων ᾖ κλέος Ἑλλαδικῶν».

Τὸ χωρίον τοῦ Ἀμειψίου μνημονεύεται καὶ ὑπὸ τοῦ Ἡρῳδιανοῦ περὶ Μον. Λεξ. σελ. 6, 26. Ἐν τῷ Κυνηγετικῷ τοῦ Ξενοφῶντος κεφ. Ε', 30 ἔχουσι τἀντίγραφα «*κοίλην* σαρκώδη», ἐν τῷ μετωπίῳ δ' ἑνὸς αὐτῶν φέρεται «γρ. *κολῆνα*». Ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους βιβλ. Ε', 69 βλέπει τις διττὴν γραφήν, *κωλῆνα σαρκώδη* καὶ *κωλῆν* (ἤτοι *κωλῆν*) *σαρκώδη* (Πρβ. Στούρζιον ἐν *Λεξ. Ξενοφ.* Τόμ. Β', σελ. 815).

Ἐν ταῖς Νεφέλαις τοῦ Ἀριστοφάνους ἀπαντᾷ στίχ. 989 «τὴν ἀσπίδα τῆς *κωλῆς* προέχων» καὶ στίχ. 1018 «πυγὴν μικράν, *κωλῆν* μεγάλην». Φέρεται δὲ εἰς τὸ τῆς *κωλῆς* σχόλιον ἔχον ὧδε· «τῆς κωλῆς: τοῦ ποδός· ἕτεροι δέ φασι τοῦ αἰδοίου». Καὶ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις κρατεῖ ἡ γνώμη ὅτι διὰ τοῦ ὀνόματος *κωλῆ* ἐν τοῖς ἐκ τῶν Νεφελῶν παρατεθεῖσι χωρίοις δηλοῦται τὸ αἰδοῖον (Πρβ. καὶ Λ. Διν-δόφιον ἐν τῇ ἐκδόσει Μικρῶν Συγγραμμάτων τοῦ Ξενοφῶντος σελ. 334). Ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τῶν Νεφελῶν σελ. 130 καὶ 138 δοξάζει ὅτι ἐλέχθη ὑπὸ τοῦ Ἀριστοφάνους *ψωλῆς* καὶ *ψωλήν*. Ἐν ἀποσπάσματι τοῦ Εὐπολιδος κεῖται «τρίτος ὁ τὴν *καλὴν* ἔχων», γράφει δὲ περὶ αὐτοῦ ὁ Μεινέκιος ἐν τῇ συλλογῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Β', σελ. 537 «corruptum videtur τὴν καλήν. Suspicabar τὴν κωλῆν eo sensu quo legitur apud Aristoph. Nub. 989». Ἀλλὰ τὸ ὀρθῶς ἔχον εἶνε «ὁ τὴν *κάλην* ἔχων». Ὁ Κόβητος λέγει ἐν *Var. Lect.* σελ. 399 ἐκδ. β' «Meinekius κωλῆν coniecit, at tu scribe ὁ τὴν *κάλην* ἔχων, *herniosus* homo erat. Phrynichus in Bekk. *Anecd.* p. 47, 20. *καλήτης* καὶ *κάλη* Ἀττικοὶ διὰ τοῦ Α, *κηλήτης* καὶ *κήλη* Ἴωνες». Πρβ. καὶ *Μνημοσ.* 1876, σελ. 263. Οὐκ ἀγνοητέον δ' ὅμως ὅτι πρὸ τοῦ Κοβήτου ἀποκατέστησε τὴν ἀληθῆ γραφὴν ὁ Ὄθ. Σνειδῆρος (Ἴδε Ἰάκωβον ἐν τῇ Μεινεκιείῳ ἐκδόσει τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Ε', σελ. LXXXIV).

Ἄλλα παραδείγματα τοῦ ὀνόματος *κωλῆ* μνημονεύομεν τάδε. Θεόφιλ. παρ' Ἀθην. σελ. 417 β' «ῥυγχίον, *κωλῆν*, πόδας τέτταρας ὑείους». Συλλ. Ἐπιγρ. Ἑλλην. Βοικ. 2656,9 «λήψεται τῶν θυομένων δημοσίᾳ ἀφ' ἑκάστου ἱερείου *κωλῆν* καὶ τὰ ἐπὶ *κωλῇ* νεμόμενα καὶ τεταρτημορίδα σπλάγχνων καὶ τὰ δέρματα, τῶν δὲ ἰδιωτικῶν λήψεται *κωλῆν* καὶ τὰ ἐπὶ *κωλῇ* νεμόμενα καὶ τεταρτημορίδα σπλάγχνων». Λουκιαν. Λεξιφ. 6 «βοὸς λιπογνώμονος *κωλῆν*». Σχολ. Ἀριστοφ. σελ. 83, 30 «κόρακα ἁρπάσαι *κωλῆν*». Πρβ. καὶ Μειστεράνσιον ἐν *Γραμματ. τῶν Ἀττ. Ἐπιγρ.* σελ. 97 ἐκδ. β'.

Ἐν ἀποσπάσματι τοῦ Ἀναξίππου παρ' Ἀθην. σελ. 404 δ' κεῖται «τῷ φιλοσόφῳ παρέθηκα *κωλέαν*, πόδας». Ἀνέγνω δ' ὁ μὲν Καιβέλιος ἐν τῇ ἐκδόσει τοῦ Ἀθηναίου «*κωλῆν* ἢ πόδας», ὁ δὲ Βλαϋδέσιος ἐν *Adversar. in Com. Gr. Fragm.* Μέρ. Α', σελ. 180 «*κωλῆν καὶ* πόδας».

Ὁ ἀοίδιμος Κοραῆς γράφει ἐν τῇ ἐκδόσει τῶν Παραλλήλων τοῦ Πλουτάρχου Μέρ. Ε', σελ. 445 «Κωλῆνος: *Κωλέα* θηλυκῶς (βαρυτονητέον γὰρ τοὔνομα ὡς τὸ *Συκέα*) καὶ συνῃρημένως Κωλῆ, ἐστὶ τὸ ὀπίσθιον σκέλος τοῦ ζῴου τὸ παρὰ τοῖς Γάλλοις καλούμενον gigot· ἰδιαιτέρως δὲ ἐπὶ συός, ὃ ἐκεῖνοι μὲν jambon, ἡ δὲ παρ' ἡμῖν συνήθεια, *Χοιρομήριον*, ἢ *Χοιρομέριον*, καλεῖ. Κωλεὰ (γρ. Κωλέα), μέρος κρέατος . . . σκέλος ὑὸς ὀπίσθιον κ. τ. λ. φησὶν Ἡσύχιος. Κέχρηται ὁ Κωμικὸς (Πλούτ. 1128) τῇ λέξει.

οἴμοι δὲ κωλῆς, ἧς ἐγὼ κατήσθιον.

Ἡ δὲ εἰς τὸ ἀρσενικὸν Κωλήν, ῆνος, μετάπτωσις τοῦ παρακμάζοντος ἑλληνισμοῦ ἔοικεν εἶναι». Τοῦ ὀνόματος *κωλήν* ἐμνημόνευσε δύο μαρτύρια ὁ Ἀθήναιος, τὸ μὲν ἐκ τοῦ Εὐπόλιδος, τὸ δ' ἐκ τοῦ Εὐριπίδου· ὑπολαμβάνει δ' ὁ Βλαϋδέσιος ἐν *Advers. in Com. Gr. Fr.* Μέρ. Α', σελ. 31 τὸ παρὰ τῷ Εὐπόλιδι *κωλῆνες* ἐσφαλμένην ἀνάγνωσιν τοῦ *κωλῆ τις* ἢ *κωλῆν τιν'*. Ὁ Φρύνιχος διδάσκει σελ. 77 «*Κωλύφιον* μὴ λέγε, *κωλῆνα* δέ», ὁ δὲ Φώτιος ἀποφαίνεται Λεξ. σελ. 196,12 «*Κωλῆν* λεκτέον, οὐχὶ *ἀκροκώλιον* οὐδὲ *κωλεόν*. Οὕτως Ἀριστοφάνης». Παρατιθέμεθα καὶ τὰ ἐν ταῖς Ἐπιστολαῖς ὑπὸ τοῦ Φωτίου γεγραμμένα σελ. 351 Βαλ. «Τὴν δὲ κωλέαν ἡ τοῦ Ἀκύλου ἔκδοσις κνήμην ἀναγράφει. Εἴη δ' ἄν, ἀκριβέστερον εἰπεῖν, σκέλος, ὅπερ καὶ δυσὶν ἑτέροις ὀνόμασι δηλοῦται· λέγω δὴ ὁ μετὰ μηρὸν *κωλῆν* καὶ τὸ μετὰ τὸν μηρὸν *ἀκροκώλιον*».

Τοῦ ἀρσενικοῦ ὀνόματος *κωλήν* ἐγένετο χρῆσις καὶ ὑπὸ τοῦ Ἀριστοτέλους ἐν ταῖς περὶ τὰ Ζῷα Ἱστορίαις βιβλ. Γ', ζ', 5 «τὰ τῶν σκελῶν ἤδη ὀστᾶ, τά τ' ἐν τοῖς μηροῖς καὶ κνήμαις, οἳ καλοῦνται *κωλῆνες*» καὶ 8 «ὅσα γὰρ μὴ ἔχει σκέλη καὶ βραχίονας οὐδὲ *κωλῆνας* ἔχει». Ἀπαντᾷ δὲ καὶ ἐν τοῖς Ἱπποκρατείοις Τόμ. Α', σελ. 682 «*κωλῆνας* ὑός» καὶ ἐν τοῖς τοῦ Ποσειδωνίου παρ' Ἀθην. σελ. 154 β' «παρατεθέντων *κωλήνων*, τὸ μηρίον ὁ κράτιστος ἐλάμβανεν». Πρβ. καὶ Ἡσύχ. «*Κωλῆνες*: ἀκροκώλια».

Παρατηρητέον δ' ὅτι ὁ μὲν Ἡσύχιος γράφει «*Κωλέα*: μέρος κρέατος—Τινὲς σκέλος ὑὸς *ὀπίσθιον*», ὁ δ' Εὐστάθιος Παρεκβ. εἰς Διονύσ. σελ. 331,2 «Μέρος δὲ ποδὸς *ἐμπροσθίου* ἡ *κωλῆ*». Πρβ. Σχολ. Ἀριστοφ. σελ. 382, 26 «Κωλαῖ τὰ *ἐμπρόσθια* μέρη τῶν ἱερείων» καὶ Σουίδ. λ. *κωλῆ*.

Εὑρέθη δὲ καὶ τύπος *κωλεός* ἐν ἀποσπάσματι τοῦ Ἐπιχάρμου παρ' Ἀθην. σελ. 366 β' «χορδαί τε ἀδὺ ναὶ μὰ Δία χὠ *κωλεός*». Φέρεται δὲ καὶ παρὰ τῷ Ἡσυχίῳ «Κωλήν: *κωλεός*» (Ἴδε καὶ Λ. Δινδόρφιον ἐν τῇ ἐκδόσει Μικρῶν Συγγραμμάτων τοῦ Ξενοφῶντος σελ. 334).

Ὁ ἀσυναίρετος τύπος *κωλέα* ἀπαντᾷ ἐν τῇ Παλαιᾷ Διαθήκῃ, Α' Βασιλ. Θ', 24 «καὶ ἥψησεν ὁ μάγειρος τὴν *κωλέαν*». Πρβ. Φώτ. Ἐπιστ. σελ. 351 Βαλ. «τὴν δὲ *κωλέαν* ἡ τοῦ Ἀκύλου ἔκδοσις κνήμην ἀναγράφει» καὶ «παρέθηκε δ' οὖν ὁ Σαμουὴλ τὴν *κωλέαν* ἐνώπιον τοῦ Σαούλ». Ἐν τῷ Λεξικῷ γράφει ὁ Φώτιος σελ. 196, 9 «*Κωλέα*: μέρος κρέατος», ὃ καὶ παρὰ τῷ Ἡσυχίῳ κεῖται, καὶ σελ. 196, 14 «Κωλῆν: *κωλέαν*» (Ἴδε καὶ Λοβέκκιον εἰς *Φρύν*. σελ.77 καὶ 78).

μυγαλῆ. Τὸ ὄνομα τοῦτο εἶνε σύνθετον ἐκ τοῦ *μῦς* καὶ *γαλῆ*. Πρβ. *τραγέλαφος*. *γρυπάετος* (*γρυπαίετος*), *χηναλώπηξ*, *κυναλώπηξ*, *ἱππαλεκτρυών*, *ταυρελέφας*, *ἀρκτοπίθηκος*, *χοιροπίθηκος*, *καμηλοπάρδαλις*, κτλ., περὶ ὧν ἀλλαχοῦ. Ἐν τοῖς εἰς Νίκανδρον Σχολίοις Θηρ. 816 φέρεται «Ἀμύντας φησὶ τὴν μυγαλῆν ἐκ μυὸς καὶ γαλῆς γίνεσθαι». Ἡ μυγαλῆ ὠνομάσθη οὕτω, διότι σύγκειται τρόπον τινὰ ἐκ γαλῆς καὶ μυός, ἐμφερὴς οὖσα τὸ μὲν τῇ γαλῇ, τὸ δὲ τῷ μυί (Πρβ. καὶ Σπρέγγελον εἰς *Διοσκορίδ*. Τόμ. Β', σελ. 445).

Ὁ Ἡρῳδιανὸς γράφει ἐν τῷ περὶ Μονήρους Λέξεως σελ. 39, 8 «Τὸ δὲ *μυγαλῆ* περισπᾶται, ἐπεὶ παρὰ τὸ *γαλῆ* συντέθειται συναληλιμμένον καὶ περισπώμενον. Κέχρηται δὲ τῷ ὀνόματι Κηφισόδωρος ἐν Ὑΐ· ὦ καὶ λέων καὶ *μυγαλῆ* καὶ σκορπίος». Φέρεται δὲ καὶ ἐν ἀποσπάσματι τοῦ Ἀναξανδρίδου παρ' Ἀθην. σελ. 300 α' «δύναται παρ' ὑμῖν *μυγαλῆ*, παρ' ἐμοὶ δέ γ' οὔ» καὶ παρὰ τῷ Ἀριστοτέλει περὶ τὰ Ζῷ. Ἱστορ. Η', κδ', 3 «τὰ δὲ δήγματα τῆς *μυγαλῆς* καὶ τοῖς ἄλλοις ὑποζυγίοις χαλεπά» καὶ παρὰ τῷ Πλουτάρχῳ Ἠθικ. σελ. 670 β' «τὴν μὲν γὰρ *μυγαλῆν* ἐκτεθειάσθαι λέγουσιν ὑπ' Αἰγυπτίων τυφλὴν οὖσαν» καὶ παρὰ τῷ Αἰλιανῷ περὶ Ζῴ. Β', 37 «ἡ *μυγαλῆ* ἐς ὅσον μὲν τὴν ἄλλως πρόεισι κτέ.» καὶ «δηχθέντι δὲ ὑπὸ *μυγαλῆς* φάρμακον ἐκεῖνο» καὶ παρὰ τῷ Στράβωνι σελ. 813 «*μυγαλῆν* δὲ Ἀθριβῖται (τιμῶσιν), ἄλλοι δ' ἄλλο τι» καὶ παρὰ Σέξτῳ τῷ Ἐμπειρικῷ σελ. 633, 28 «κορώνη, ἀκρίς, *μυγαλῆ*, ἐμπίς» καὶ παρ'

Ἀντ. Λιβερ. ΚΗ' (Μυθογρ. Οὐεστερμ. σελ. 227, 6) «*μυγαλῆ* δὲ Λητώ». Ὁ Λουκιανὸς εἶπε κατὰ πληθυντικὸν ἀριθμὸν ἐν Ὀν. ἢ Ἀλ. 24 «ἐῶ λέγειν μυῶν πλῆθος ἢ *μυγαλῶν* ἐμπολιτευόμενον αὐτοῖς ἐνίοτε».

Παρὰ τῷ Διοσκορίδῃ ἀπαντᾷ μὲν ὁ συνήθης τύπος *μυγαλῆ* Τόμ. Α', σελ. 164 «πρὸς *μυγαλῆς* δήγματα» καὶ Τόμ. Β', σελ. 322 «πρὸς δὲ τὴν *μυγαλὴν* (γρ. *μυγαλῆν*) αὐτὴ ἡ *μυγαλῆ* ταχέως τριβεῖσα σὺν οἴνῳ καὶ ποθεῖσα», ἀπαντᾷ δὲ καὶ ὁ τετρασύλλαβος *μυογάλη* Τόμ. Α', σελ. 195 «*μυογάλη* ἀνασχισθεῖσα καὶ ἐπιτεθεῖσα ἄκος ἐστὶ τοῦ ἰδίου δήγματος». Δύναται δὲ τοῦτο νὰ παραβληθῇ τῷ *χαμαισύκη* καὶ τῷ *χαμαιάκτη*, περὶ ὧν ἐγένετο λόγος ἐν τοῖς ἔμπροσθεν. Εὑρέθη δὲ καὶ *μυγάλη* γεγραμμένον, ὃ πλημμελὲς νομίζεται (Ἴδε Βάστιον ἐν Ἐ*πιστ. Κριτ.* σελ. 169. Πρβ. καὶ Λοβέκκιον ἐν *Παραλειπομ.* σελ. 378). Παρὰ Σέξτῳ τῷ Ἐμπειρικῷ σελ. 633, 28 ἔχουσι τἀντίγραφα καὶ *μυγαλή* καὶ *μυγάλη*.

Ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις σελ. 362, 43 Διδ. φέρεται «γαλῆ ἡ κάττα, μυγαλῆ ἡ *νυμφίτζα*», ἐν δὲ τοῖς εἰς Λουκιανὸν κεῖται σελ. 195 Ἰακ. «μυγαλῶν: οὓς ἰδιωτικῶς φασι *λαγογήρους*». Καὶ εἰς τὸ παρὰ τῷ Ἀρεταίῳ *γαλεοί* εἶνε γεγραμμένον ἐν τῷ μετωπίῳ ἑνὸς τῶν κωδίκων «τὰς *νυμφίτζας* λέγει». Περὶ τοῦ *νυμφίτζα*, ἀνθ' οὗ νῦν λέγεται *νυφίτζα* ἄνευ τοῦ Μ, ἴδε Δουκάγγιον ἐν *Γλωσσαρ.* σελ. 1009 καὶ Βεκμαννὸν εἰς *Ἀντίγον. Καρύστ.* σελ. 232 (Πρβ. καὶ Κοραῆν ἐν *Ἀτάκτ.* Τόμ. Δ', σελ. 74). Ὅμοια τῷ *νυμφίτζα* ὑπάρχουσι τὸ *ψιχίτζα*, *καραβιδίτζα*, *καριδίτζα*, *φιλομηλίτζα*, *ὡρίτζα*, κτλ. (Πρβ. καὶ Λοβέκκιον ἐν *Προλεγομ.* σελ. 360). Ἐν ταῖς Ἱστορίαις τοῦ Τζέτζου εἶνε γεγραμμένον Χιλ. ΙΓ', 373 «ἆθλος δὲ τρισκαιδέκατος (τρεισκαιδέκατος), ὡς *προσθηκΗτζα* τάχα». Ἐλέχθη δ' ὑπὸ τοῦ Τζέτζου καὶ «ὀλίγον *ὑστερούτζικος* χρόνοις τετρακοσίοις» (Χιλ. ΙΒ', 166) καὶ «ὃς εἶχε Θέκλαν σύζυγον, υἱὸν δὲ τὸν *Παυλίτζην*» (Χιλ. ΙΒ', 181. Ἴδε καὶ Κραμ. Ἀν. Ὀξ. Τόμ. Γ', σελ. 374, 21). Πρβ. καὶ *μικρούτζικος*, *ψιλούτζικος*, κτλ. καὶ *ζουμίτζιν*, *τυρίτζιν*, *ἀλογίτζιν* (Μιχ. Ἀκομιν. Τόμ. Β', σελ. 121, 20), κτλ. καὶ *Βασιλίτζης*, *Διακονίτζης*, *Ἰακωβίτζης*, *Σκυλίτζης*, *Σγουρίτζης*, κτλ. Παρὰ τῷ Ζωναρᾷ Ἐπιτ. Ἱστορ. Τόμ. Δ', σελ. 119, 1 Τευβν. ἀπαντᾷ «Νικόλαος, ὃν *ΝικολίτζΑΝ* ὡς βραχὺν τὴν ἡλικίαν ὠνόμα-

ζον», ἀλλ' ἐν σελ. 19, 11 κεῖται «διὰ τὸ τῆς ἡλικίας βράχιστον ὑποκοριζόμενος καὶ *ΘεοφιλίτζΗΣ* καλούμενος» καὶ ἐν σελ. 219, 15 «ἕτερον ἐκτομίαν τὸν Νικηφόρον, ὃς νέος προσληφθεὶς — εἰς τὰ βασίλεια ὑποκοριζόμενος διὰ τὴν νεότητα *ΝικηφορίτζΗΣ* ὠνόμαστο». Πρβ. καὶ σελ. 49, 6 «ὢν ἕνα *ΒασιλίτζΗΝ* λεγόμενον κτέ.» καὶ Τόμ. Γ', σελ. 417, 2 «ᾧ *ΒοϊδίτζΗΣ* ἦν τὸ ἐπώνυμον».

Ἀκριβῶς περὶ τοῦ *γαλῆ* καὶ *αἴλουρος-αἰέλουρος* καὶ περὶ τοῦ *μυγαλῆ* θὰ διαλάβωμεν ἐν ἑτέρῳ τόπῳ.

συκῆ. Πάμπολλα τοῦ ὀνόματος τούτου μαρτύρια ἔχει τις νὰ καταλέξῃ ἔκ τε τοῦ δοκίμου καὶ τοῦ ἀδοκίμου ἑλληνισμοῦ. Τοῦ πληθυντικοῦ ἀριθμοῦ παραδείγματα ἐμνημονεύσαμεν ἐν τῇ Ἀθηνᾷ Τόμ. Γ', σελ. 571-2. Εὑρέθη δ' ἡ πληθυντικὴ δοτικὴ *συκαῖς* καὶ ἐν Ἀττικῇ ἐπιγραφῇ (Ἴδε Μειστεράνσιον ἐν *Γραμμάτ. τῶν Ἀττ. Ἐπιγρ.* σελ. 97 ἐκδ. β').

Ὑπάρχει καὶ κύριον ὄνομα *Συκῆ* καὶ *Συκαῖ*. Οὐδαμῶς ἡμεῖς ἐγκρίνομεν τὴν γραφὴν *Συκή* καὶ *Συκαί* (Ἴδε Ἀρήνσιον ἐν τῷ περὶ Δωρικῆς Διαλέκτου συγγράμματι σελ. 64 καὶ Λέντζιον ἐν τῇ συλλογῇ τῶν τοῦ Ἡρῳδιανοῦ Τόμ. Α', σελ. 313. Πρβ. καὶ Στάλλιον ἐν *Ζητήμ. Γραμματ.* σελ. 34 ἐκδ. β').

Τὸ ἄνευ συναλοιφῆς προενηνεγμένον *συκέα* ἀπαντᾷ παρὰ τῷ Ψευδογαληνῷ Τόμ. ΙΔ', σελ. 393 «φύλλα τῆς *συκέας* τριβέσθωσαν» καὶ παρὰ τῷ Ἀθηναίῳ σελ. 317 γ' «*συκέαις* προσπεφυκυίαις» (Ἴδε Ἀθηνᾶν Τόμ. Γ', σελ. 571. Πρβ. καὶ Λοβέκκιον ἐν *Παραλειπομ.* σελ. 338-9). Φέρεται δὲ καὶ ἐν τῷ Λεξικῷ τοῦ Σουίδα σελ. 985 α' Βεκκ. «συίνη δὲ ἡ *συκέα*» καὶ «*Συκέα* τὸ δένδρον, σῦκον δὲ ὁ καρπός». Παρὰ τῷ Ὡραπόλλωνι κεῖται σελ. 93 «ταῦρον ζωγραφοῦσιν περιδεδεμένον *ἀγρυοσυκέᾳ*· οὗτος γάρ, ὅταν ὀργᾷ, δεσμεῖται *ἀγριοσυκῇ* καὶ ἡμεροῦται».

φακῆ. Κακῶς εἶνε γεγραμμένον παρ' Ἰωάννῃ τῷ Ἀλεξανδρεῖ Τον. Παραγγ. σελ. 9, 8 (Ἡρῳδιαν. Λεντζ. Τόμ. Β', σελ. 319, 31) «χαλκέα τε καὶ χαλκῆ, *φωκέα φωκῆ*» ἀντὶ τοῦ *φακέα φακῆ*. Πρβ. Γραμματ. παρ' Ἑρμ. ἐν τῷ *De Emend. Rat. Gr. Gramm.* σελ. 451, 136 «ἡ χρυσῆ, ἡ *φακῆ*, ἡ ἀμυγδαλῆ, ἡ γαλῆ, ἡ παρ-

δαλῆ, ἡ κυνῆ, ἡ γῆ» καὶ Σχολ. Ἀριστοφ. σελ. 153, 14 «ὥσπερ τὸ συκῆ ἀπὸ τοῦ συκέα περισπῶσι καὶ τὸ ἀμυγδαλῆ ἀπὸ τοῦ ἀμυγδαλέα, οὕτω καὶ τὸ *φακῆ* ἀπὸ τοῦ *φακέα*». Γράφει δὲ καὶ ὁ Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1572, 51 «Ἡ δὲ συκῆ περισπᾶται διὰ συναίρεσιν, ὡς καὶ τὸ ἀμυγδαλέα ἀμυγδαλῆ καὶ ὡς τὸ *φακέα φακῆ* τὸ κατά τινα παλαιὸν ἥδιστον ὄψον, ἧς κτητικὸν φάκινος, ὡς τὸ μέγαν κολοσσὸν φάκινον. Ὅτι δὲ καὶ κύριον ὄνομα ἦν *Φακῆ* δηλοῖ ὁ γράψας ὅτι ἀδελφὴ Ὀδυσσέως Καλλιστώ, κατὰ δὲ ἑτέρους *Φακῆ*, ὁμώνυμος, φησί, τῷ ὀσπρίῳ» (Πρβ. Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Ἀποσπασμάτων σελ. 15-6 καὶ σελ. 407, 21).

Οὐκ ὀλίγα τῆς λέξεως *φακῆ* μαρτύρια παρέθετο ὁ Ἀθήναιος σελ. 158 α' κέξ. Ἐν ἀποσπάσματι τοῦ Στράττιδος παρ' Ἀθην. σελ. 160 β' κεῖται «ὅταν *φακῆν* ἕψητε, μὴ 'πιχεῖν μύρον (Πρβ. Βαλκενάριον εἰς *Εὐριπ. Φοιν.* Τόμ. Α', σελ. 225 Λιψ.). Παροιμιῶδες δ' ἀπέβη τὸ *τοὐπὶ τῇ φακῇ μύρον*, περὶ οὗ ποιεῖται λόγον ὁ Δειπνοσοφιστὴς ἐν σελ. 160 γ'. Λέγει δὲ παρ' αὐτῷ Χαμαιλέων ὁ Ποντικὸς ἐν σελ. 406 ε' ὅτι Ἡγήμων ὁ Θάσιος Φακῆ ἐπεκαλεῖτο καὶ ἱστορεῖ μετ' ὀλίγα ὅτι «εἰσῆλθέ ποτε καὶ εἰς τὸ θέατρον διδάσκων κωμῳδίαν λίθων ἔχων πλῆρες τὸ ἱμάτιον, οὓς βάλλων εἰς τὴν ὀρχήστραν διαπορεῖν ἐποίησε τοὺς θεατάς· καὶ ὀλίγον διαλιπὼν εἶπε

λίθοι μὲν οἵδε· βαλλέτω δ' εἴ τις θέλει·
φακῆ δὲ κἂν χειμῶνι κἂν θέρει καλόν».

Τὸν δεύτερον στίχον προηνεγκάμεθα ὡς ἀνεγνώσθη ὑπὸ τοῦ Μεινεκίου. Ἐν τοῖς κώδιξιν εἶνε οὑτωσὶ γεγραμμένος·

φακῆ δὲ καὶ ἐν θέρει καὶ ἐν χειμῶνι ἀγαθόν.

Μετέγραψε δ' αὐτὸν ὁ Δοβραῖος (ἐν *Adversar.* Τόμ. Β', σελ. 324) ὧδε·

ἀγαθὸν δὲ κἂν χειμῶνι κἂν θέρει φακῆ.

Ἐν τῇ Ῥοδωνιᾷ τοῦ Μακαρίου Η, 71 φέρεται «φακῆ δὲ κἂν θέρει κἂν χειμῶνι φακῆ: ἐπὶ τῶν ἀεὶ τῶν αὐτῶν ὄντων». Ἀναγνωστέον δὲ «φακῆ δὲ κἂν χειμῶνι κἂν θέρει φακῆ» (Ἴδε Λεύσχιον ἐν τῇ ἐκδόσει τῶν Παροιμιογράφων Τόμ. Β', σελ. 225. Πρβ. καὶ Ναύκιον εἰς *Σοφοκλ. Αἴ.* 601 καὶ Βλαϋδέσιον εἰς *Ἀριστοφ. Πλ.* 1004, σελ. 341).

Ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους γίνεται μνεία τοῦ πληθυντι-

κοῦ *φακαῖ* βιβλ. Α',247 «πυροί, κριθαί, ὄσπρια, κατέρικτα (γρ. κατερΕΙκτά), φασίολοι, *φακαῖ*, κύαμοι, ὠχροί (γρ. ὦχροι), δόλιχοι, λάθυροι». Πρβ. καὶ Σουΐδ. «*Φακαῖ*: τὸ ἕψημα τοῦ φακοῦ. Θηλυκῶς ἡ ἑψηθεῖσα, ἀρσενικῶς δὲ ὁ ἀνέψητος». Περὶ τῆς διαφορᾶς τοῦ *φακῆ* καὶ *φακός* θὰ εἴπωμεν τὰ δέοντα ἑτέρωθι (Ἴδε Βαλκενάριον εἰς *Ἀμμών*. σελ. 141. Πρβ. καὶ Λοβέκκιον ἐν τῇ ἐκδόσει τῆς Ἐκλογῆς καὶ Ἐπιτομῆς τοῦ Φρυνίχου καὶ Ἀποσπάσματος τοῦ Ἡρῳδιανοῦ σελ. 455).

Παράδοξα φαίνονται ἡμῖν τὰ ὑπὸ τοῦ Εὐσταθίου ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς γεγραμμένα σελ. 341,30 «Ἰστέον δὲ νῦν καὶ ὅτι Πτολεμαῖος ὁ Ἀσκαλωνίτης ἐν τῷ περὶ τῶν ἐν Ὀδυσσείᾳ προσῳδιῶν εἰπὼν κεῖσθαι τὴν λέξιν ταύτην ἐπὶ τῆς καθιεμένης μολύβδου παρὰ τῶν τεχνιτῶν λέγει καὶ ὅτι τὸ σταφύλη ἐπὶ νῶτον εἴσας βαρύνεται, ὡς Νιόβη· ἔστι γάρ, φησίν, οὐχ ὅμοιον τῷ συκῇ· τοῦτο μὲν γὰρ διαιρεῖται συκέη, ἐκεῖνο δὲ οὐ διαιρεῖται. Λέγει δὲ ὁ Πτολεμαῖος τοῦτο διὰ τὸ μηδὲ τὴν ὀπώραν τὴν σταφυλὴν δεῖν ὀξύνεσθαι ἀλλὰ *περισπᾶσθαι*, οἷα τῶν τοιούτων εἰς ΛΗ θηλυκῶν, ἃ παραλήγεται τῷ Υ, *περισπωμένων* κατὰ Ἡρακλείδην φάμενον ἡμαρτῆσθαι παρὰ τοῖς ἑλληνίζουσι τὸ σταφυλή ὀξυνόμενον· ὅσα γὰρ τοιαῦτα παρατελευτῶνται τῷ Υ *περισπῶνται*· καὶ λέγει καὶ κανόνα εἰς τοῦτο ἐκεῖνος». Τὰ εἰς ΛΗ ὀνόματα τὰ παραληγόμενα τῷ Υ παροξύνονται, οἷον *πύλη*, *μύλη*, κτλ., *ἀρβύλη*, *κοτύλη*, κτλ. πλὴν τοῦ δισυλλάβου *φυλή* καὶ τοῦ τρισυλλάβου *σταφυλή*, ᾧ ὁμοίως ἐτονοῦντο τὰ δήμων ὀνόματα *Ἀγκυλή* καὶ *Ἀγρυλή*· οὐδὲν δ' ὑπάρχει περισπώμενον. Ἀπεφαίνετο δὲ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης καὶ ἄλλοι ὅτι καὶ τὸ ὄνομα *σταφυλή* ἐξεφέρετο παροξυτόνως (ἤτοι ἐβαρύνετο), ὁσάκις παρελαμβάνετο πρὸς δήλωσιν τοῦ τεκτονικοῦ ἐργαλείου, τῆς ὑπὸ τῶν τεχνιτῶν καθιεμένης μολύβδου. Ἴδε Ἀμμών. σελ. 124-5 (καὶ Ἐτυμ. Μέγ. σελ. 742, 44). Ὁ Κόννιος ἐν *Berlin. Stud.* Τόμ. Α', σελ. 646-7 μεταβάλλει τὸ παρὰ τῷ Εὐσταθίῳ *περισπᾶσθαι* εἰς τὸ *βαρύνεσθαι* καὶ τὸ *περισπωμένων* εἰς τὸ *βαρυνομένων* καὶ τὸ *περισπῶνται* εἰς τὸ *βαρύνονται*. Πρβ. καὶ Βαίγιον ἐν *Dissert. Phil. Hal.* Τόμ. Ε', σελ. 176-7.

Παρατηροῦμεν δ' ἐν προσθήκης μέρει ὅτι ἐκ μὲν τῶν ἀσυναλείπτων ὀνομάτων *ἰτέα* καὶ *πτελέα* παρήχθησαν τὰ ἐπίθετα *ἰτέϊνος* καὶ *πτε-*

λεῖνος, ὡς καὶ ἐκ τοῦ *κράνεια* τὸ *κρανεῖνος*, ἐκ δὲ τῶν συνῃρημένων *ἀκτῇ* καὶ *συκῇ* τὸ *ἄκτινος* καὶ *σύκινος* (Πρβ. Λοβέκκιον ἐν *Παραλειπομ.* σελ. 337-8 καὶ ἐν *Στοιχ.* Τόμ. Α΄, σελ. 251).

Τὸ ἐπίθετον *πτελεῖνος* (*πτελείινος*) εὑρέθη καὶ ἐν ἐπιγραφαῖς Ἀττικαῖς (Ἴδε Μειστεράνσιον ἐν *Γραμμ. τῶν Ἀττ. Ἐπιγρ.* σελ. 35 ἐκδ. β΄). Σημειωτέον δ' ὅτι ἐν μὲν τῷ *ἰτεῖνος* καὶ *πτελεῖνος* ἐφυλάχθη τὸ Ε πρὸ τῆς καταλήξεως ΙΝΟΣ, ἐν δὲ τῷ *θῖνος* τῷ ἐκ τοῦ *θεός* παρηγμένῳ ἠφανίσθη. Περὶ τοῦ ἐπιθέτου τούτου ἐποιήσατο λόγον ὁ Κουμανούδης ἐν τῇ Συναγωγῇ σελ. 157 (Πρβ. καὶ Βαυνακκίους εἰς *Ἐπιγρ. Γόρτυν.* σελ. 59). Ἐν τῷ ἐκ τοῦ *μελίη* γενομένῳ ἐπιθέτῳ ἐξέπεσε τὸ Ι, ἅμα τῆς καταλήξεως ΙΝΟΣ προσαφθείσης τῷ ΜΕΛΙ, οἷον *μέλινος* καὶ *μείλινος*. Πρβ. καὶ *λείρινος* ἐκ τοῦ *λείριον* καὶ *λευκόϊνος* ἐκ τοῦ *λευκόϊον* (Ἴδε Λοβέκκιον ἐν *Στοιχ.* Τόμ. Α΄, σελ. 282-3). Ἐν τοῖς ὑποκοριστικοῖς δ' ὅμως ὀνόμασιν *οἰκίδιον*, *οὐσίδιον*, *ἱματίδιον*, κτλ. συνῆλθον διὰ συναλοιφῆς τὰ δύο ἰῶτα (*οἰκι*+*ίδιον*, *οὐσι*+*ίδιον*, κτλ.) εἰς ἓν μακρόν. Πρβ. καὶ *δῖος*, *Χῖος*, κτλ. Ἀλλὰ δὲν εἶνε καιρὸς νῦν νὰ ἐξετάσωμεν μετ' ἀκριβείας τὰ τοιαῦτα.

Τοῦ *ἄκτινος* παρέχει ἡμῖν μαρτύριον ὁ Θεόφραστος λέγων περὶ Φυτ. Ἱστορ. Ε΄, γ΄, 3 «μανὰ δὲ τῶν μὲν ἀγρίων καὶ ἐρεψίμων τὰ ἐλάτινα μάλιστα, τῶν δ' ἄλλων τὰ *ἄκτινα* καὶ τὰ σύκινα καὶ τὰ τῆς μηλέας καὶ τὰ τῆς δάφνης». Τὸ δὲ *σύκινος* παρὰ πολλοῖς ἀπαντᾷ. Ἐσχηματίσθησαν δ' ἐκ τοῦ *ἀκτῇ* καὶ *συκῇ* τὸ *ἄκτ-ινος* καὶ *σύκ-ινος* ὡς ἐκ τοῦ *γαλῇ* τὸ *γαλ-ιδεύς*. Σημειώσεως δ' ἄξιον εἶνε ὅτι καὶ τοῦ *ὀστέον ὀστοῦν* ὑπάρχει ἐπίθετον παράγωγον *ὄστ-ινος*, περὶ οὗ γράφει ὁ Φρύνιχος ἐν τῇ Σοφιστικῇ Προπαρασκευῇ σελ. 54,30 «*Ὄστινον* δεῖ λέγειν, οὐκ *ὀστεῖνον*» (Ἴδε Λοβέκκιον εἰς *Φρύν.* σελ. 262 καὶ ἐν *Στοιχ.* Τόμ. Α΄, σελ. 250. Πρβ. καὶ Θησ. Στεφ. Τόμ. Ε΄, σελ. 2305).

Τὸ *κρανεῖνος* ἐγένετο ἐκ τοῦ *κράνεια*, προσκολληθείσης μὲν τῷ ΚΡΑΝΕΙ τῆς καταλήξεως ΙΝΟΣ, ἐκπεσόντος δὲ τοῦ Ι τῆς διφθόγγου. Πρβ. *Ἡράκλεια*-*Ἡρακλεώτης*, κτλ. Ἀμφίβολος εἶνε ὁ τρισύλλαβος τύπος *κράνινος*. Παρὰ τῷ Ἡροδότῳ φέρεται βιβλ. Ζ΄, 92 «τόξα *κρανεῖνα*» καὶ παρὰ τῷ Ξενοφῶντι Κύρ. Παιδ. Ζ΄, α΄, 2 «παλτῷ *κρανείνῳ*» καὶ Ἑλλην. Γ΄, δ΄, 14 «*κρανεῖνα* παλτά». Πρβ. καὶ Ἀρριαν. Ἀναβ. Α΄, ιε΄, 5 Σιντ. «ὅτι ξυστοῖς *κρανείνοις*

πρὸς παλτὰ ἐμάχοντο». Ἐν τῷ περὶ Ἱππικῆς τοῦ Ξενοφῶντος κεφ. ΙΒ΄, 12 ἔχουσι τἀντίγραφα «*κρανΑῖνα* εὔπαλτα» ἀντὶ τοῦ «*κρανΕῖνα* δύο παλτά» (Ἴδε Στούρζιον ἐν *Λεξ. Ξενοφ.* Τόμ. Β΄, σελ. 778). Παρὰ τῷ Στράβωνι σελ. 570 εἶνε τριττὴ ἡ γραφὴ τῶν κωδίκων, «ἀφ' οὗ καὶ στυράκινα ἀκοντίσματα ἐοικότα τοῖς *κραναίνοις*» καὶ *κραναιίνοις* καὶ *κρανίνοις*. Ὁ Στράβων ἔγραψεν ἀναντιλέκτως *κρανείνοις*, ὃ ἔμεινεν ἀβλαβὲς ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου σελ. 281,14 «ἐξ οὗ ἀκοντίσματα, φασί, στυράκια (γρ. *στυράκινα*) ἐοικότα τοῖς *κρανείνοις*». Καὶ ἐν τῷ εἰς Ἑρμῆν Ὁμηρικῷ Ὕμνῳ στίχ. 460 τρεῖς φέρονται γραφαί, «ναὶ μὰ τόδε *κρανάϊνον* ἀκόντιον» καὶ *κρανάϊνον* καὶ *κράνειον*· τὴν δ' ὑγιῶς ἔχουσαν ἐκφορὰν *κρανέϊνον* ἀποκατέστησεν ὁ Ἰλγένιος (Ἴδε Λεξ. Ὁμηρ. Ἐβελ. Τόμ. Α΄, σελ. 882). Τὸ ἐν τοῖς Ἀττικοῖς τοῦ Παυσανίου κείμενον κεφ. ΚΑ΄, 8 «τόξα τε *κράνινα* καὶ ὀϊστούς» μετέβαλεν ὁ Ἑρουερδὴν ἐν *Μνημοσ.* 1887, σελ. 49 εἰς τὸ *κρανέϊνα*.

Ἐκ τοῦ *γῆ* παρήχθη τὸ *γήϊνος*. Στέφανος ὁ Βυζάντιος γράφει σελ. 206,17 «*Γῆ*, ἀπὸ τοῦ *γέα* κραθέν· ἀφ' οὗ τὸ *γέγειος* κτητικὸν πλεονασμῷ τοῦ Γ· ἢ παρὰ τὸ *γῆ γήϊος*, ἀφ' οὗ καὶ *γηΐτης* ὁ αὐτόχθων καὶ γῆν οἰκῶν, καὶ *γήϊνος* μετουσιαστικόν» (Ἴδε Λοβέκκιον ἐν *Elem.* Τόμ. Α΄, σελ. 283 καὶ Ζαχῆρον ἐν *Dissert. Philol. Hal.* Τόμ. Γ΄, σελ. 23 καὶ 123). Ὡς δ' ἐλέχθη *γή-ϊνος*, οὕτω καὶ *γη-ΐδιον* καὶ κατὰ συναλοιφὴν *γῄδιον*. Κακῶς ἔχει ἡ ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 230, 3 κέξ. φερομένη γνώμη ὅτι ἐκ τῆς γενικῆς *γέας* ἐσχηματίσθη ὑποκοριστικὸν *γείδιον* διὰ τῆς ΕΙ διφθόγγου καὶ κατ' ἔκτασιν Ἀττικὴν τοῦ Ε εἰς Η *γήδιον* διὰ τοῦ Η καὶ Ι. Πρβ. καὶ Ἀπολλων. Ἀλεξ. ἐν Ἀνεκδ. Βεκκ. σελ. 586, 12 «καὶ τὸ *γῄδιον* ὑποκοριζόμενον ἐφύλαξε τὸ Η τοῦ *γῆ*, τοῦ τέλους τῶν τοιούτων γενικῶν εἰς τὸ ΙΔΙΟΝ μεταλαμβανομένου». Ἐσφαλμένη δ' εἶνε ἡ ἄνευ τοῦ ὑπογεγραμμένου Ι ἐκφορὰ *γήδιον*. Οὐκ ἀγνοητέον δ' ὅτι ὑπάρχει καὶ Δωρικὸν ἐπίθετον *γάϊος* (Ἴδε Ζαχῆρον ἐν *Dissert. Phil. Hal.* Τόμ. Γ΄, σελ. 123. Ἔτι δὲ Καιβέλιον ἐν *Epigr. Gr.* σελ. 245, 606). Πρβ. *γᾶ* = *γῆ*, *γαμέτρας*, κτλ.

Θ΄.

Τραγή — παγή.

Ἐν τῷ περὶ Μονήρους Λέξεως βιβλίῳ τοῦ Ἡρωδιανοῦ φέρεται σελ. 6, 21 «συκέα συκῆ, λεοντέα λεοντῆ, φακέα φακῆ —, *παγῆ*, γαλῆ, μυγαλῆ, ἀμυγδαλῆ».

Περὶ τοῦ ὀνόματος *παγῆ* οὔτε ὁ Λέρσιος παρατήρησίν τινα ἐποιήσατο ἐν τῇ ἐκδόσει τοῦ περὶ Μονήρους Λέξεως καὶ τῆς Ἰλιακῆς Προσῳδίας καὶ τοῦ περὶ Διχρόνων τοῦ Ἡρωδιανοῦ (σελ. 16) οὔτε ὁ Λέντζιος ἐν τῇ συναγωγῇ τῶν τοῦ Ἡρωδιανοῦ (Τόμ. Β΄, σελ. 911, 15). Καὶ ἐν τῇ ὑπὸ τοῦ Μεινεκίου γενομένῃ ἐκδόσει τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν (Τόμ. Β΄, σελ. 449) καὶ ἐν τῇ ὑπὸ τοῦ Κοκκίου (Τόμ. Α΄, σελ. 274, 70) οὐδὲν εἶνε περὶ τοῦ *παγῆ* εἰρημένον.

Ἡμεῖς δοξάζομεν ὅτι λέξις *παγῆ* οὐδέποτε ὑπῆρξεν ἐν τῇ Ἑλληνικῇ γλώσσῃ, τὸ δὲ παρὰ τῷ Ἡρωδιανῷ κείμενον νομίζομεν πλημμελῆ γραφὴν τοῦ *τραγῆ*, ὃ δηλοῖ δέρμα τράγου. Εὐκόλως δ' ἐν τοῖς ἀντιγράφοις μεταπίπτουσιν εἰς ἄλληλα τὸ ΤΡ καὶ Π. Γνωστὸν τοῖς περὶ τὰ Ἑλληνικὰ ἀσχολουμένοις γράμματα εἶνε ὅτι ἐν τῷ ἀποσπάσματι τοῦ Εὐπόλιδος «Α. τί γάρ ἐστ' ἐκεῖνος; Β. *ἀποπάτημ'* ἀλώπεκος» κακῶς ἀναγνωσθὲν τὸ *ἀποΠάτημ'* ἐγένετο *ἀποΤΡάγημ'* (Π=ΤΡ καὶ Τ=Γ). Ἴδε Μεινέκιον ἐν τῇ συλλογῇ τῶν Ἀποσπασμάτων τῶν Κωμικῶν Τόμ. Β΄, σελ. 542. Πρβ. καὶ Κόβητον ἐν *Λογ. Ἑρμ.* Τόμ. Α΄, σελ. 206 σημ.

Συνεχύθησαν δ' ὑπὸ τῶν μεταγραφέων καὶ τὸ Π-ΙΤ καὶ τὸ Π-ΤΙ καὶ τὸ Π-ΙΓ καὶ τὸ Π-ΡΡ, κτλ., ὡς μέλλομεν ἀλλαχοῦ νὰ παραστήσωμεν.

Τὸ ὄνομα *τραγῆ* μνημονεύεται ὑπὸ τοῦ Πολυδεύκους βιβλ. Δ΄, 118 «ἡ δὲ σατυρικὴ ἐσθὴς νεβρίς, αἰγῆ, ἣν καὶ ἰξαλῆν ἐκάλουν καὶ *τραγῆν*» καὶ ὑπὸ τοῦ Θεογνώστου ἐν Κραμ. Ἀν. Ὀξ. Τόμ. Β΄, σελ. 108, 9 «τὸ γὰρ περισπώμενον συνήρηται ἀπὸ τοῦ βοέα βοῆ, ὡς κυνέα κυνῆ, *τραγέα τραγῆ*». Ἀπαντᾷ δὲ καὶ ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις Ἀχαρν. 146 (σελ. 7, 32 Διδ.) «*τραγῆν*, τουτέστιν αἰγίδα, μέλαιναν ἐνημμένος» (Πρβ. Βερνάρδυν εἰς *Σουΐδ.* Τόμ. Β΄,

ϐ', σελ. 1189). Ἐν ταῖς εἰς Ὅμηρον Παρεκϐολαῖς τοῦ Εὐσταθίου γίνεται μνεία τοῦ πληθυντικοῦ ἀριθμοῦ τοῦ περὶ οὗ ὁ λόγος ὀνόματος σελ. 276, 10 «Ἢ διότι, φασίν, αἰγονόμοι εἰσὶ καὶ *τραγᾶς* ἀϐυρσεύτους καὶ δυσώδεις ἀμφιέννυνται. *Τραγαῖ* δέ εἰσι περισπωμένως αἱ τῶν τράγων δοραί, ὡς καὶ λεονταῖ καὶ παρδαλαῖ αἱ τῶν λεόντων καὶ τῶν παρδάλεων». Πρϐ. καὶ σελ. 602, 4 (Εὐδοκ. σελ. 50, 19 Τευϐν.) «Ἡ τοῦ Διὸς αἰγὶς μυθικῶς μὲν κατὰ τὰς λεγομένας *τραγέας* καὶ κατὰ κρᾶσιν *τραγᾶς*, οὕτω καὶ αὐτὴ εἴη ἂν αἰγέη, τουτέστιν αἰγὸς δέρμα» καὶ σελ. 374, 43.

Ἡ πληθυντικὴ αἰτιατικὴ εἶνε ἀσυναλείπτως προενηνεγμένη ἐν τοῖς Θεοφραστείοις σελ. 753 Σνειδ. «τὸ συμπάσχειν τὰς *τραγέας*» καὶ ἐν τοῖς Ἠθικοῖς τοῦ Πλουτάρχου σελ. 294 ϛ' «τινὲς δὲ κώδια (γρ. *κῴδια*) καὶ *τραγέας* τοὺς ἀνθρώπους φοροῦντας καὶ τὰ πλεῖστα συνόντας αἰπολίοις γενέσθαι δυσώδεις» (Ἴδε Λοϐέκκιον εἰς *Φρύν*. σελ. 78 καὶ ἐν *Παραλειπομ*. σελ. 338). Ὑπὸ τοῦ Θεοκρίτου ἐλέχθη Εἰδ. Ε', 51 «ταὶ δὲ *τραγεῖαι* ταὶ παρὰ τὶν ὄσδοντι κακώτερον ἤ τύ περ ὄσδεις».

Ὅμοια τῷ ἐκ τοῦ *τράγος* παρηγμένῳ ὀνόματι *τραγέα*-*τραγῆ* ἔχει καὶ ἄλλα ἡ Ἑλληνικὴ γλῶσσα, ἃ μνημονεύομεν κατὰ στοιχεῖον.

αἰγῆ. Πολυδεύκ. Ι', 131 «καὶ διφθέρα καὶ *αἰγῆ* καὶ κυνῆ Σικυωνική» (Πρϐ. καὶ Δ', 118). Ἀρκάδ. περὶ Τόν. σελ. 105, 2 «Τὸ *αἰγῆ* ἀπὸ τοῦ *αἰγέα* συναλειφθὲν περισπᾶται».

Ὁ ἀσυνάλειπτος τύπος *αἰγέα* μνημονεύεται ἐν τῷ Λεξικῷ τοῦ Σουίδα «*Αἰγέα*: τὸ τῆς αἰγὸς δέρμα». Πρϐ. καὶ Ἰώσηπ. Ἰουδ. Ἀρχ Α', ιη', 6 «ᾧ τὴν *αἰγέαν* περιϐέϐλητο». Ἐν τοῖς κώδιξι φέρεται καὶ γραφὴ *αἰγΑΙαν*.

ἀλωπεκῆ. Περιϐόητον κατέστη τὸ ὑπὸ τοῦ Λυσάνδρου, ὡς ἱστορεῖ ὁ Πλούταρχος (Λυσ. Ζ', 4), ῥηθὲν «ὅπου ἡ λεοντῆ μὴ ἐφικνεῖται, προσραπτέον ἐκεῖ τὴν *ἀλωπεκῆν*» (Ἴδε καὶ Βυττεμϐάχιον εἰς *Πλουτ*. *Ἠθικ*. Τόμ. Ϛ', σελ. 1106). Γεώργιος ὁ Κεδρηνὸς εἶπε Τόμ. Β', σελ. 114, 18 «ὁ δὲ κρύπτει μὲν τέως τὴν λεοντῆν, τὴν δὲ *ἀλωπεκῆν* ὑποκρίνεται», ὁ δ' Εὐστάθιος ἐν ταῖς εἰς Ὅμηρον Παρεκϐολαῖς σελ. 374 τέλ. «ὥσπερ τὴν *ἀλωπεκῆν* (ἐνῆφθαι λέγεται) ὁ κερδαλέος καὶ

δόλιος κατὰ τὴν κερδώ» (Ἴδε Λεύσχιον ἐν τῇ ἐκδόσει τῶν Παροιμιογράφων Τόμ. Β΄, σελ. 216. Πρβ. καὶ Ναύκιον ἐν *Mél. Gréco-Rom.* Τόμ. Δ΄, σελ. 702).

Παρὰ τῷ σοφιστῇ Τιμαίῳ κεῖται σελ. 256 «*Τὴν ἀλωπεκῆν*: τὴν πανουργίαν». Γράφει δὲ περὶ αὐτοῦ ὁ Κόβητος ἐν *Μνημοσ.* 1860, σελ. 419 «Non videtur scripsisse *τὴν ἀλωπεκῆν*: τὴν πανουργίαν, sed *τὴν ἀλώπεκα*: τὴν ἀλωπεκῆν, τὴν πανουργίαν e libro II. de Rep. p. 365. C: τὴν τοῦ σοφωτάτου Ἀρχιλόχου ἀλώπεκα ἑλκτέον ἐξόπισθεν κερδαλέαν καὶ ποικίλην, ubi vehementer fallitur Ruhnkenius opinatus aut ἀλωπεκῆν meliorem lectionem esse aut certe ἀλώπεκα dici pro *pelle vulpina*. Nempe ἡ ἀλωπεκῆ neque ποικίλη est, qnod sciam, multoque minus κερδαλέα. Praeterea notus est Archilochi locus, qui Platoni obversabatur:

τῷ δ' ἄρ' ἀλώπηξ κερδαλέη συνήντετο
πυκνὸν ἔχουσα νόον.

quae hercle non erat *pellis vulpina*». Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Θεμιστίῳ σελ. 279 α΄ «φύονται δέ τινες καὶ ἐν ἀνθρώποις ἀλώπεκες, μᾶλλον δὲ ἀνθρώπια σμικρά τε καὶ ἀνελεύθερα, *τὰς ἀλώπεκας ὄπισθεν ἐφελκόμενα*» (Ἴδε Ῥουγκήνιον εἰς *Τίμ.* σελ. 257).

Ὁ ἀσυναίρετος τύπος *ἀλωπεκέα* φέρεται ἐν τῷ Λεξικῷ τοῦ Σουίδα λ. *Ἀλωπεκῆθεν* «καὶ *ἀλωπεκέα* ἡ περικεφαλαία».

ἀνθρωπῆ. Σουίδ. «Σῦφαρ: τὸ δέρμα, ἡ *ἀνθρωπῆ*». Ἐτυμ. Μέγ. σελ. 257, 45 «Δέρμα τὸ παρατεινόμενον ὅλῳ τῷ σώματι· ὃ ποιητικώτερον λέγεται καὶ ῥινὸς καὶ σῦφαρ καὶ στέρφος καὶ *ἀνθρωπῆ*· ἐπὶ ἀλόγων δὲ πέσκος καὶ νάκος». Πρβ. καὶ Ζων. Λεξ. σελ. 483. Ἐν τῷ Ὀνομαστικῷ τοῦ Πολυδεύκους κεῖται βιβλ. Β΄, 5 «τὸ δὲ ἀνθρώπου δέρμα *ἀνθρωπῆν* Ἡρόδοτος καλεῖ». Ἀλλ' ὁ Κόβητος ἀποφαίνεται ἐν *Nov. Lect.* σελ. 492 ὅτι ἐγράφη ὑπὸ τοῦ Πολυδεύκους *ἀνθρωπέην*.

ἀρκτῆ. Ἡσύχ. «*Ἀρκτῆ*: ἡ τῆς ἄρκτου δορά». Πολυδ. Ε΄, 16 «Καὶ τὸ μὲν τοῦ λέοντος δέρμα λεοντῆ καλεῖται καὶ δορὰ λέοντος, ἡ δὲ τῆς παρδάλεως παρδαλῆ, ἡ δὲ τῆς ἄρκτου *ἀρκτῆ*, καὶ ἀλωπεκῆ ἡ τῆς ἀλώπεκος καὶ λυκῆ ἡ τοῦ λύκου καὶ μοσχῆ ἡ τοῦ μόσχου, ὡς Ἀνα-

ξανδρίδης εἴρηκεν· *ἀρκτῆ*, λεοντῆ, παρδαλῆ, μοσχῆ, κυνῆ. Ἡ δὲ τῆς ἐλάφου νεβρίς, ὡς ἡ τῆς αἰγὸς αἰγὶς καὶ (ἡ) τοῦ προβάτου κῴδιον».

βοῆ. Ἡσύχ. «*Βοῆ*: βύρσα, ἀσπίς». Θεόγνωστ. ἐν Κραμ. Ἀν. Ὀξ. Τόμ. Β', σελ. 108, 9 «βοή τὸ ὀξύτονον· τὸ γὰρ περισπώμενον συνῄρηται ἀπὸ τοῦ *βοέα βοῆ*, ὡς κυνέα κυνῆ».

Ἐν τῇ Ἀναβάσει τοῦ Ξενοφῶντος ἀπαντᾷ βιβλ. Δ', ε', 14 «καρβατίνας πεποιημένοι ἐκ τῶν νεοδάρτων *βοῶν*» καὶ ζ', 22 «γέρρα ἔλαβον δασειῶν *βοῶν* ὠμοβόεια ἀμφὶ τὰ εἴκοσιν» καὶ βιβλ. Ε', δ', 12 «ἔχοντες γέρρα πάντες λευκῶν *βοῶν* δασέα». Νομίζεται δ' ὅτι τὸ *βοῶν* εἶνε πληθυντικὴ γενικὴ τοῦ *βοῦς* καὶ ὅτι διὰ τοῦ ὀνόματος τοῦ ζῴου δηλοῦται ἡ δορὰ αὐτοῦ. Φέρεται δὲ καὶ γραφὴ *δασέων βοῶν* (Ἴδε Στούρζιον ἐν *Λεξ. Ξενοφ.* Τόμ. Α', σελ. 558). Ἀλλ' οὐδείς, νομίζομεν, ὑπάρχει λόγος ἀναγκάζων νὰ μὴ ὑπολάβωμεν τὸ *βοῶν* πληθυντικὴν γενικὴν τοῦ *βοῆ*. Ὁμοίως δὲ τῷ *νεόδαρτοι βοαὶ* ἐλέχθη καὶ *δέρμα νεόδαρτον* καὶ *νεόδαρτοι βύρσαι*. Πρβ. καὶ Θεόφρ. περὶ Φυτ. Ἱστορ. Θ', ε', 3: *νεόδορον βύρσαν*.

Σημειωτέον δ' ὅτι ὁ Πλυγέρσιος περιέγραψεν ὡς παρεμβεβλημένον τὸ *δασειῶν βοῶν* (Ἴδε Κόβητον ἐν *Nov. Lect.* σελ. 459).

Ἐν τοῖς Ἀρκαδικοῖς τοῦ Παυσανίου κεφ. Μ', 3 εἶνε γεγραμμένον ἀσυναλείπτως «ἐκ *βοέας* ὠμῆς ἱμάντες». Κεῖται δ' ἐν τοῖς κώδιξι καὶ γραφὴ διὰ διφθόγγου *βοείας*.

ἐλαφῆ. Πολυδεύκ. Ζ', 90 «Ἡ δὲ εὔμαρις κοινὸν ἀνδράσι πρὸς γυναῖκας, βαρβαρικὸν μὲν εὕρημα, ἐξ *ἐλαφῆς* δὲ πεποιημένον».

ἐχινῆ. Θεόγνωστ. ἐν Κραμ. Ἀν. Ὀξ. Τόμ. Β', σελ. 114,3 «τὸ *ἐχινῆ* ἀπὸ τοῦ ἐχινέα συναιρεθὲν περισπᾶται». Ἀρκάδ. περὶ Τόν. σελ. 112, 3 «τὸ δὲ *ἐχινῆ* ἡ τραχεῖα ἀπὸ τοῦ ἐχινέα γέγονε· διὸ περισπᾶται». Ὁ Λέντζιος ἔγραψεν ἐν τῇ συναγωγῇ τῶν τοῦ Ἡρῳδιανοῦ Τόμ. Α', σελ. 334, 8 «τὸ δὲ ἐχινῆ ἡ τραχεῖα *δορὰ* ἀπὸ τοῦ ἐχινέα γέγονε» (Πρβ. Λοβέκκιον ἐν *Παραλειπομ.* σελ. 339, σημ. 23 καὶ ἐν *Προλεγομ.* σελ. 247, σημ. 21).

ἰξαλῆ. Πολυδεύκ. Δ', 118 «αἰγῆ, ἣν καὶ *ἰξαλῆν* ἐκάλουν καὶ

τραγῆν». Ψευδηρωδ. Φιλετ. σελ. 445 «ὡς λεοντῆ καὶ *ἰξαλῆ* τὸ τῆς αἰγὸς (δέρμα) καὶ μοσχῆ». Εὐστάθ. σελ. 450, 23 «Ἐν δὲ ῥητορικῷ τινι λεξικῷ φέρεται καὶ ὅτι ἴξαλος ὁ προπηδῶν καὶ τέλειος. Ἐν δὲ ἑτέρῳ καὶ ὅτι, ὥσπερ παρδαλῆ καὶ λεοντῆ, οὕτω καὶ *ἰξαλῆ* (ἡ) αἰγεία περισπωμένως· ἐπεὶ ἴξαλοι (οἱ) αἶγες». Πρβ. Φώτ. Λεξ. σελ. 108, 18 «*Ἰξαλῆ*: ἡ αἰγεία· ἐπεὶ ἴξαλοι οἱ αἶγες». Ἐν τοῖς Ἱπποκρατείοις φέρεται σελ. 770 η' «*ἰξάλην* δ' αἰγὸς χρὴ ὑποτετάσθαι καὶ εὐαπόρρυτα ποιέειν φυλάσσοντα τοὺς ὑπορρόους». Τὴν γραφὴν ταύτην βλέπει τις καὶ παρὰ τῷ Γαληνῷ παρατιθεμένῳ ἣν ἐμνημονεύσαμεν ῥῆσιν Τόμ. ΙΗ', β', σελ. 572. Καὶ ἐν οἷς δ' ἐπιφέρει ὁ Γαληνὸς εἶνε γεγραμμένον παροξυτόνως *ἰξάλη*· «Εἴτ' αἰγὸς δέρμα προσαγορεύεται κυρίως *ἰξάλη* εἴτε κατ' ἄλλου τινὸς ὑποφέρεσθαι (γρ. *ἘΠΙφέρεσθαι*) δύναται τοὔνομα, περιττὸν ἐν τῇδε τῇ διδασκαλίᾳ ζητεῖν». Πρβ. καὶ Τόμ. ΙΘ', σελ. 106 «*Ἰξάλην*: τελείου αἰγὸς δέρμα» καὶ «*Ἰσάλλην*: διφθέραν, δέρμα». Ὁ Ἑρμερίνσιος ἔγραψεν ἐν τοῖς Ἱπποκρατείοις Τόμ. Γ', σελ. 38 «*ἰξαλῆν* δὲ χρὴ ὑποτετάσθαι καὶ εὐαπόρρυτα ποιέειν» ἐκβαλὼν τὸ *αἰγός* ὡς παρεγγεγραμμένον. Καὶ παρὰ τῷ Ἐρωτιανῷ σελ. 79, 7 «*Ἰξαλῆ*: τελείας αἰγὸς δέρμα, ἣν μηλωτὴν καλοῦσι» ὑπάρχει γραφὴ *ἰξάλη*. Εὑρέθη δὲ καὶ *ἰζαλῆ* γεγραμμένον ἀντὶ τοῦ *ἰξαλῆ* (Ἴδε Πιέρσωνα εἰς *Ἡρῳδ. Φιλέταιρ.* σελ. 445). Ἐν τῷ κώδικι τοῦ Ἡσυχίου μετὰ τὸ ΙΞΑΙ κεῖται «*Ἰζάλη*: αἰγὸς δέρμα» καὶ «*Ἰζάλου*: πηδητικοῦ, ὀξέος». Φέρεται δ' ἐν αὐτῷ καὶ «*Ἰσσέλα*: διφθέρα» καὶ «*Ἰσθλή*: αἰγ(ε)ία μηλωτή» καὶ «*Ἴσκλαι*: — αἱ αἴγειαι μηλωταί» καὶ «*Ἰτθέλαν*: διφθέραν» (καὶ «*Ἰέττας*: — τοὺς ἀγρίους τράγους»). Πρβ. καὶ Πολυδεύκ. Ζ', 211 «τὰς δὲ διφθέρας καλοῦσι καὶ *ἰττέλας*» (Ἴδε Ναύκιον ἐν τῇ συλλογῇ τῶν Ἀριστοφάνους τοῦ Βυζαντίου σελ. 199 καὶ Σμιδίτιον ἐν τῇ ἐκδόσει τοῦ Ἡσυχίου Τόμ. Β', σελ. 370). Ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις Νεφ. 72 (σελ. 84, 41) ἀπαντᾷ «Ποιμενικὸν δὲ περιβόλαιον ἡ διφθέρα. Ἀττικοὶ δὲ λέγουσιν ἣν νῦν *ισάλην* καλοῦμεν· ἔστι δὲ ἐκ δέρματος» (Ἴδε Κοίνιον εἰς *Γρηγόρ. Κορ.* σελ. 435 Σχ).

κυνῆ. Οὐκ ὀλίγα τοῦ ὀνόματος τούτου παρέχουσιν ἡμῖν μαρτύρια οἱ Ἀττικοὶ συγγραφεῖς καὶ ποιηταί, φέρεται δὲ καὶ ἐν τῇ Συλλογῇ τῶν Ἀττικῶν Ἐπιγραφῶν Β', 678, β', 6 «*κυνῆ* σιδηρᾶ» καὶ «*κυ*-

ναῖ ὑπόξυλοι» καὶ «*κυναῖ χαλκαῖ*» καὶ 16 «*κυναῖ* συμπεφλασμέναι» καὶ 40 «*κυναῖ* ἀπὸ ἀνδριάντων». Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Ἀριστείδῃ Τόμ. Α', σελ. 514 «τήν τε *κυνῆν* ἔχων καὶ τὸ κάλλος θαυμαστός» καὶ σελ. 726 «τὴν τῶν ποιητῶν ἄτοπον *κυνῆν* περικείμενος» καὶ Τόμ. Β', σελ. 677 «τῆς Ἅδου *κυνῆς* ἡμῖν δεήσει» καὶ παρὰ τῷ Τζέτζῃ Σχολ. εἰς Λυκόφρ. σελ. 828 Μυλλ. «καὶ τὴν Ἅδου *κυνῆν* Ἑρμῆς παρ' αὐτοῦ λαβών». Ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Α', σελ. 247, 5 μνημονεύεται ῥῆσις τοῦ τραγικοῦ Ἀστυδάμαντος, ἐν ᾗ εἶνε γεγραμμένον «δέξαι *κοινήν* μοι» ἀντὶ τοῦ *κΥνῆν*. Καὶ παρὰ Λέοντι τῷ Διακόνῳ ἔχει ὁ κῶδιξ ἐν σελ. 145, 3 *αὐτῇ κΟΙνῇ* ἀντὶ τοῦ *αὐτῇ κΥνῇ*. Κακῶς ὁ Γ. Δινδόρφιος ἐξέδωκε παρὰ τῷ Θεμιστίῳ σελ. 66 β' «οὐδὲ *κυνὶ* σπείσας, ὥσπερ Ψαμμήτιχος» ἀντὶ τοῦ *κυνῇ*. Πρβ. Ἡρόδ. Β', 151 «Ἐνθαῦτα, ὡς οὐκ εἶχε φιάλην ὁ ἔσχατος ἑστεὼς αὐτῶν Ψαμμήτιχος, περιελόμενος τὴν κυνέην ἐοῦσαν χαλκέην ὑπέσχε τε καὶ ἔσπενδε». Λέγεται δὲ καὶ *κυνῆ Θετταλίς* καὶ *Ἀρκὰς κυνῆ* καὶ *κυνῆ Βοιωτία* - *κυναῖ Βοιώτιαι*. Φώτ. Λεξ. σελ. 187, 2 «*Κυνῆ* Βοιωτία: ἐπεὶ ἐκεῖ καλαὶ γίνονται αἱ κύνες» καὶ σελ. 186, 17 «*Κυνᾶς*: τὰς περικεφαλαίας ἤτοι τὰς ἀπὸ κυνέων δερμάτων γιγνομένας ἢ ἀπὸ Κυνός τινος κατασκευάσαντος πρώτου (Πρβ. καὶ Βεκκ. Ἀν. σελ. 274, 9). Μέμνηται Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας οὕτως· οἱ τὰς κυνᾶς τὰς Βοιωτίας ἔχοντες». Τὸ «καλαὶ γίνονται αἱ *κύνες*» νομίζεται ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου (Τόμ. Δ', σελ. 2113) ἐσφαλμένη γραφὴ τοῦ «καλαὶ γίνονται αἱ *κυναῖ*». Πρβ. Ἡσύχ. «Κυνῆ Βοιωτία: ἐγένοντο γὰρ διάφοροι· ἀλλ' αἱ ἐν Βοιωτίᾳ καλαὶ *κυναῖ*, ἃς οἱ κατ' ἀγρὸν ἐφόρουν». Δὲν φαίνεται εὔλογος ἡ τοῦ Τουπίου γνώμη νομίζοντος (ἐν *Διορθ.* Τόμ. Δ', σελ. 159) τὸ *καλαὶ κυναῖ* πλημμελῆ ἀνάγνωσιν τοῦ *μεγάλαι κυναῖ*. Ἀντὶ τοῦ *κυνΕων* ἔγραψεν ὁ Ναβῆρος ἐν τῇ ἐκδόσει τοῦ Λεξικοῦ τοῦ Φωτίου *κυνΕΙων*. Παρὰ τῷ Δημοσθένει ἢ Ψευδοδημοσθένει σελ. 1377, 94 τὰ μὲν ἄλλα ἀντίγραφα φέρουσιν «οἱ τὰς *κύνας* τὰς Βοιωτίας ἔχοντες», τὸ δ' ἄριστον «οἱ τὰς *κοινας* τὰς Βοιωτίας ἔχοντες»· ἀποκατέστησε δὲ τὸ ὀρθὸν *κυνᾶς* ὁ Ταύλωρος (Ἴδε Κόβητον ἐν *Nov. Lect.* σελ. 492. Πρβ. καὶ *Μνημοσ.* 1859, σελ. 26-7). Τοῦ πληθυντικοῦ *κυνᾶς* ἐποιήσατο χρῆσιν καὶ Δίων ὁ Χρυσόστομος κατὰ τὸν Κόβητον ἀποφαινόμενον (ἐν *Λογ. Ἑρμ.* Τόμ. Α', σελ. 534 καὶ ἐν *Μνημοσ.* 1877, σελ. 91) ὅτι

ἀναγκαίως ἔχει ν' ἀναγνωσθῇ παρὰ τῷ συγγραφεῖ τούτῳ Τόμ. Β', σελ. 67 «τὰς δὲ κεφαλὰς σκέπομεν· τοὺς δ' ἀλεκτρυόνας ὁρῶμεν οὐδενὸς τοιούτου προσδεομένους, ὧν ἄνθρωποι, *κυνᾶς* καὶ πίλους καὶ τοιαῦθ' ἕτερα συρράπτοντες» ἀντὶ τοῦ *σισύρας*.

Ἐν τῇ περὶ Φυτῶν Ἱστορίᾳ τοῦ Θεοφράστου βιβλ. Γ', θ', 6 ἀπαντᾷ «ὥστε τὴν ὅλην μορφὴν εἶναι θολοειδῆ καὶ παρόμοιον μάλιστα ταῖς Βοιωτίαις *κυνέαις*». Ἀλλ', ὡς καὶ ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου παρετηρήθη (Τόμ. Δ', σελ. 2113), πιθανὸν φαίνεται ὅτι ὁ Θεόφραστος εἶπε κατὰ συναίρεσιν *κυναῖς*. Καὶ τὸ παρ' Εὐριπίδῃ δὲ *κυνέας* (Ἱκέτ. 717) μεταβάλλει ὁ Βλαϋδέσιος ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Νεφελῶν σελ. 289 εἰς τὸ *κυνᾶς*.

Ὁ ἀσυνάλειπτος τύπος *κυνέα*, κτλ. εἶνε ἀνάττικος. Φέρεται δ' ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Α', σελ. 368, 11 Δινδ. «θώραξ καὶ *κυνέα* καὶ κνημῖδες» καὶ ἐν τοῖς τοῦ Τζέτζου εἰς Λυκόφρ. σελ. 825,6 «καὶ τὴν *κυνέαν* τοῦ Ἅδου» καὶ ἐν τῇ Ἰωνιᾷ τῆς Εὐδοκίας σελ. 180, 15 καὶ σελ. 474, 2 Τευβν. «καὶ τὴν *κυνέαν* τοῦ Ἅδου». Πρβ. καὶ σελ. 181, 18 «καὶ τὴν Ἅδου *κυνῆν*». Παρὰ τῷ Σουίδᾳ κεῖται «*Κυνέας*: τὰς περικεφαλαίας ἤτοι τὰς ἀπὸ κυνείων δερμάτων γινομένας ἢ ἀπὸ Κυνός τινος κατασκευάσαντος πρώτου». Ἀντὶ τοῦ *κυνέας* εἶνε γεγραμμένον ἔν τε τῷ Λεξικῷ τοῦ Φωτίου σελ. 186, 17 καὶ ἐν τοῖς Ἀνεκδότοις τοῦ Βεκκήρου σελ. 274,9 *κυνᾶς*.

λεοντῆ. Πολυδεύκ. Ε', 16 «τὸ μὲν λέοντος δέρμα *λεοντῆ* καλεῖται καὶ δορὰ λέοντος». Φώτ. Λεξ. σελ. 214,21 καὶ Σουίδ. «*Λεοντῆ*: ἡ δορὰ τοῦ λέοντος». Ἀριστοφ. Βατρ. 46 «ὁρῶν *λεοντῆν* ἐπὶ κροκωτῷ κειμένην» (Πρβ. καὶ 430 καὶ 496). Πλάτ. Κρατ. σελ. 411 α' «ὅμως δέ, ἐπειδήπερ τὴν *λεοντῆν* ἐνδέδυκα, οὐκ ἀποδειλιατέον». Ἡρωδιαν. Ἱστορ. Α', ιδ', 8 «ἀποδυσάμενός τε τὸ Ῥωμαίων καὶ βασίλειον σχῆμα *λεοντῆν* ἐπεστρώννυτο». Λιβάν. Ἐπιστ. ΤΛΔ', σελ. 162 «ἐπὶ τούτοις ἐνέδυ, φασί, τὴν *λεοντῆν*». Πρβ. καὶ Φώτ. Λεξ. σελ. 586, 12 καὶ Σουίδ. «*Τὴν λεοντῆν ἐνδύου*: ἴσον τῷ γεννναίζου» καὶ Παροιμιογρ. Ἑλλ. Τόμ. Β', σελ. 216 Λευσχ. «*Τὴν λεοντῆν* λάμβανε: ἐπὶ τοῦ γενναῖόν τι πράττειν μέλλοντος». Ἐν τῇ Παλατίνῃ Ἀνθολογίᾳ φέρεται τύπος *λΕΙοντῆ* κεφ. ΙϚ', 185, 3 «εἴκελα δ' ὅπλα νεβρὶς *λειοντῆ*, κύμβαλα δὲ πλαταγῇ».

λυκῆ. Πολυδεύκ. Ε', 16 «καὶ ἀλωπεκῆ ἡ τῆς ἀλώπεκος (δορὰ) καὶ *λυκῆ* ἡ τοῦ λύκου». Ἀππιαν. σελ. 100,15 Μενδ. «κήρυκα πέμψαντες *λυκῆν* ἀντὶ κηρυκείου περικείμενον». Ἐν τοῖς εἰς Εὐριπίδην Σχολίοις Ῥήσ. 210 φέρεται «οὐδὲ γὰρ Ὅμηρος διὰ τοῦτο τὴν *λυκίαν* αὐτῷ περιτίθησιν». Ὁ Βατῆρος μετετύπωσε τὸ *λυκίαν* εἰς τὸ *λυκείαν*, ὃ ἀπαντᾷ παρὰ τῷ Πολυβίῳ βιβλ. Ϛ', κϐ', 3. Ὁ Γ. Διν-δόρφιος γράφει ἐν τῇ ἐκδόσει τῶν εἰς Εὐριπίδην Σχολίων Τόμ. Α', σελ. 25, 14 «Usitatior tamen et rectior forma est λυκέαν vel contracta λυκῆν».

μοσχῆ. Ἀναξανδρίδ. παρὰ Πολυδ. Ε', 16 «ἀρκτῆ, λεοντῆ, παρδαλῆ, *μοσχῆ*, κυνῆ». Πρϐ. καὶ Ψευδηρῳδιαν. Φιλετ. σελ. 445.

νεϐρῆ. Ψευδορφ. Ἀργοναυτ. 451 «*νεϐρῆν* παρδαλέην» καὶ Ἀποσπ. Ζ', 17 «ὕπερθε *νεϐρῆς* χρύσεον ζωστῆρα βαλέσθαι».

παρδαλῆ. Ἀναξανδρίδ. παρὰ Πολυδ. Ε', 16 «ἀρκτῆ, λεοντῆ, *παρδαλῆ*, μοσχῆ, κυνῆ». Ἀριστοφ. Ὄρν. 1250 «*παρδαλᾶς* ἐνημμένους». Πολυδεύκ. Δ', 118 «ἡ δὲ σατυρικὴ ἐσθὴς νεϐρίς, αἰγῆ — καί που καὶ *παρδαλῆ* ὑφασμένη» καὶ Ε', 16 «ἡ δὲ τῆς παρδάλεως *παρδαλῆ*, ἡ δὲ τῆς ἄρκτου ἀρκτῆ» καὶ Ι', 171 «σκευῶν ἂν καὶ ταῦτα εἴη καὶ *παρδαλῆ* καὶ λεοντῆ». Εὐστάθ. Παρεκϐ. εἰς Διονύσ. σελ. 249, 1 Διδ. «οὕτω ποικίλη κατὰ *παρδαλῆν*». Ἐν τῷ Φιλεταίρῳ τοῦ Ψευδηρῳδιανοῦ κεῖται σελ. 445 «*Παρδαλῆ* τὸ τῆς παρδάλεως δέρμα, ὡς λεοντῆ καὶ ἰξαλῆ τὸ τῆς αἰγὸς καὶ μοσχῆ».

Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκϐολαῖς σελ. 787, 38 «Ἔστι δὲ καὶ νῦν παρδαλέη δορὰ παρδάλεως ἀπὸ ἀρσενικοῦ τοῦ παρδάλειος. Ἐκ δὲ αὐτῆς κατὰ συναίρεσιν *παρδαλῆ*, ὡς λεοντέη λεοντῆ» καὶ σελ. 276, 11 «Τραγαῖ δέ εἰσι περισπωμένως αἱ τῶν τράγων δοραί, ὡς καὶ λεονταῖ καὶ *παρδαλαῖ* αἱ τῶν λεόντων καὶ τῶν παρδάλεων». Ἐν τῇ Ἰωνιᾷ τῆς Εὐδοκίας φέρεται σελ. 536, 19 «τὸ δὲ *πάρδαλιν* ἐνῆφθαι τῆς γῆς φαντασίας ἕνεκα» καὶ σελ. 537, 16 «νεϐρίδα δὲ ἢ *πάρδαλιν* αὐτῷ (γρ. *αὐτὸν*) ἐνῆφθαι διὰ τὴν ποικιλίαν τῶν ἄστρων κτέ.» ἀντὶ τοῦ *παρδαλῆν* (Πρϐ. καὶ Θησ. Στέφ. Τόμ. Ϛ', σελ. 418). Ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου ἀπαντᾷ σελ. 199

ά «ἐκ παρδαλῶν δερμάτων ἐρραμμένος». Ἀλλ' ὁ Μεινέκιος περιέγραψε τὸ *δερμάτων* ὡς παρεμβεβλημένον.

Τῆς ἀσυναιρέτου ἐκφορᾶς *παρδαλέα* ἔχομεν τάδε τὰ μαρτύρια πρόχειρα. Στράβ. σελ. 850, 23 Μειν. «Σοφοκλῆς—*παρδαλέαν* φησὶ πρὸ τῆς θύρας τοῦ Ἀντήνορος προτεθῆναι» καὶ σελ. 983, 18 «*παρδαλέαις* ὅμοια». Στέφ. Βυζάντ. σελ. 145, 2 «ἐοικυῖαν *παρδαλέᾳ*». Σχολ. Πινδ. σελ. 353 Βοικκ. «καὶ ἡ παρὰ Χείρωνι *παρδαλέα*» καὶ σελ. 384 «*παρδαλέαν* τῷ Ἀντήνορος οἴκῳ παρῃώρησαν». Ἐν τοῖς κώδιξι τοῦ Στράβωνος φέρεται καὶ γραφὴ *παρδαλΛΙαν*.

Ἐν τοῖς Ὁμηρικοῖς Ζητήμασι τοῦ Πορφυρίου εἰς Ἰλιάδα σελ. 63, 14 Σραδ. κεῖται «προσάγει τὸν Ἀλέξανδρον *παρδαλέαν* ὤμοισιν ἔχοντα». Πρβ. Ἰλ. Γ, 17 «*παρδαλέην* ὤμοισιν ἔχων».

προβατῆ. Γεωργ. Παχυμέρ. Τόμ. Α', σελ. 348, 6 «μετελάμβανε κυνῆν ἢ *προβατῆν* τὴν συνήθη». Ὑπὸ τῶν Ἀθηναίων τὸ δέρμα τοῦ προβάτου ἐκαλεῖτο *κῴδιον*. Πρβ. Ἀριστοτ. περὶ τὰ Ζῷ. Ἱστορ. Η', ι', 3 «τῶν δὲ λυκοβρώτων προβάτων τὰ *κῴδια* κτέ.». Εἶνε δὲ τὸ *κῴδιον* ὑποκοριστικὸν τοῦ *κῶας*· ἐσχηματίσθη δὲ καὶ ὑποκοριστικὸν τοῦ ὑποκοριστικοῦ διὰ τῆς καταλήξεως ΑΡΙΟΝ, οἷον *κῳδάριον*. Πλείονα περὶ τοῦ *κῴδιον* θὰ γράψωμεν ἑτέρωθι ποιούμενοι λόγον καὶ περὶ τοῦ *μηλωτή* καὶ περὶ τοῦ *ἀρνακίς* καὶ περὶ ἄλλων.

Ὁ Ψευδηρῳδιανὸς ἀποφαίνεται Φιλετ. σελ. 445 «Παρδαλῆ τὸ τῆς παρδάλεως δέρμα, ὡς λεοντῆ καὶ ἰξαλῆ τὸ τῆς αἰγὸς καὶ μοσχῆ· *ἀρνέα* δὲ καὶ *λυκέα*». Ὑπὸ τοῦ Ἀππιανοῦ ἐλέχθη *λυκῆ*, οὗ καὶ ὁ Πολυδεύκης ποιεῖται μνείαν, τοῦ δ' ὀνόματος τοῦ παραγώγου τοῦ *ἀρνός* οὐδὲν μαρτύριον ἔχομεν οὔτ' ἀσυναλείπτως προενηνεγμένου οὔτε κατὰ συναλοιφήν. Παρὰ τῷ Θεοκρίτῳ Εἰδ. Ε', 57 κεῖται «ὑπεσσεῖται δὲ χιμερᾶν δέρματα τῶν παρὰ τὶν μαλακώτερα πολλάκις ἀρνῶν». Ὁ Ἀρήνσιος εἴκασε πρῶτον μὲν *τᾶν—ἀρνᾶν*, ὃ καὶ ὑπὸ τοῦ Μεινεκίου ἐνεκρίθη ἐν τῇ Γ' ἐκδόσει τῶν Βουκολικῶν Ποιητῶν σελ. 234, ἔπειτα δὲ *τᾶν—ἀρνεᾶν*. Ἐν τοῖς εἰς Θεόκριτον Σχολίοις φέρεται «Τῶν ἀρνείων δερμάτων τῶν παρὰ σοὶ κατὰ πολὺ μαλακώτερα».

Παρατιθέμεθα τὰ ὑπὸ τοῦ Ῥουγκηνίου ἐν τῇ ἐκδόσει τοῦ σοφιστοῦ

Τιμαίου εἰρημένα σελ. 256 «Ἀλωπεκῆ, contractum ex ἀλωπεκέη, intellecto δορά, est *pellis vulpina*, ut ἀρκτῆ, *ursina*, παρδαλῆ, *pantherina*, λυκῆ, *lupina*, λεοντῆ *leonina*, τραγῆ *hircina*, κυνῆ, *canina*, ταυρῆ *taurina*, ἰξαλῆ, *caprina*, ἀνθρωπῆ, *humana*, etc. quibus formis addatur νεβρῆ, *hinnulea* apud *Orpheum* Fragm. p. 271. ubi vide *Gesnerum*».

Τὸ ὄνομα *ταυρῆ* οὔτ' ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου μνημονεύεται οὔτ' ἐν τῷ Λεξικῷ τοῦ Πασσοβίου. Ὑπάρχει δ' ὄνομα *ταυρέα* καὶ *ταυρεία* ἐν τῷ παρηκμακότι ἑλληνισμῷ δηλοῦν μάστιγα κατεσκευασμένην ἐκ δορᾶς ταύρου (Ἴδε Λοβέκκιον ἐν *Παραλειπομ.* σελ. 353 καὶ Δουκάγγιον ἐν *Γλωσσαρ.* σελ. 1536. Πρβ. καὶ Θησ. Στεφ. Τόμ. Ζ', σελ. 1872). Ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σελ. 747, 42 φέρεται «*Ταυρείην*: ταύρειον δέρμα».

Ὁ Βλαϋδέσιος γράφει ἐν τῇ ἐκδόσει τῶν Ἀριστοφάνους Νεφελῶν σελ. 289 «Similia sunt λυκῆ, παρδαλῆ, ἰκτιδῆ, κτιδῆ, ἀλωπεκῆ, λεοντῆ, ἀρκτῆ, τραγῆ, ἰξαλῆ, νεβρῆ, μοσχῆ».

Ὑπὸ τίνος ἐγένετο χρῆσις τοῦ ὀνόματος *ἰκτιδῆ* ἢ *κτιδῆ*, ἡμεῖς ἀγνοοῦμεν. Ἐν τῇ Ἰλιάδι ἀπαντᾷ Κ, 335 «κρατὶ δ' ἔπι *κτιδέην* κυνέην» καὶ 458 «ἀπὸ μὲν *κτιδέην* κυνέην — ἕλοντο». Ἐκ τοῦ δευτέρου δὲ χωρίου μηνύεται τρανῶς ὅτι καὶ ἐν τῷ πρώτῳ ἐρρήθη ὑπὸ τοῦ ποιητοῦ «κρατὶ δ' ἔπι *κτιδέην*», οὐχὶ «κρατὶ δ' ἔπ' *ἰκτιδέην*» (Ἴδε Λεξ. Ὁμηρ. Ἐβελ. Τόμος Α', σελίδα 918). Εἶνε δὲ τὸ *κτιδέην* ἐπίθετον τοῦ *κυνέην*. Πρβ. *ταυρείην κυνέην*, *αἰγείην κυνέην*, κτλ.

Ἐν τῷ Λεξικῷ τοῦ Σουίδα φέρεται «*Κτιδέη*: ἡ περικεφαλαία», ἐν δὲ τῷ τοῦ Ἡσυχίου κεῖται «*Κτιδέα*: γένος περικεφαλαίας. Καὶ κτὶς δέ ἐστι ζῷον ὅμοιον γαλῇ, οὗ τὸ δέρμα εὔθετον εἰς περικεφαλαίας» (Πρβ. καὶ Ἀπολλών. Σοφ. Λεξ. Ὁμηρ. σελ. 104, 27). Ἴδε Λοβέκκιον ἐν *Παραλειπομ.* σελ. 84 καὶ ἐν *Στοιχ.* Τόμ. Α', σελ. 72.

Παρὰ τῷ Θεμιστίῳ σελ. 257 ά ἔχουσι τἀντίγραφα «καταλιπεῖν μὲν τὰ λαισήϊα καὶ *τεκτιδέας* καὶ τὴν γρυμαίαν, λαβεῖν δὲ ἀσπίδα ἀληθινήν», μετέβαλε δ' ὁ Κασαύβων ἐν ταῖς εἰς τοὺς Ἀθηναίου Δειπνοσοφιστὰς Παρατηρήσεσι (σελ. 521) τὸ *τεκτιδέας* εἰς τὸ τὰς *ἰκτιδέας*. Πρβ. καὶ Σουίδ. «Ἴκτις: — Καὶ *ἰκτιδέα* τὸ τοῦ αἰλούρου δέρ-

μα». Φέρεται δὲ καὶ γραφὴ τρισύλλαβος *κτιδέα*. Εὔλογον δ' ἴσως εἶνε ν' ἀναγνωσθῇ παρὰ τῷ Θεμιστίῳ *τὰς κτιδέας*.

Ὑπάρχει καὶ ὄνομα *κερδαλῆ*, περὶ οὗ γράφει ὁ Λοβέκκιος ἐν τῇ ἐκδόσει τοῦ Φρυνίχου σελ. 78 «Contra κερδαλέα in oratione soluta perinde ut alia qualitatum vocabula, ἀργαλέα, λυσσαλέα, contractionis exsors est, neque κερδαλῆ (multo minus κερδάλη Greg. Naz. Or. IV. 116 B.) nisi cum recordatione poeticae memoriae usurpandum est» (Πρβ. καὶ Ματθίαν ἐν *Διεξοδ. Ἑλλ. Γραμμ.* σελ. 309 ἐκδ. γ'). Ὁ Κυννῆρος ἀποφαίνεται ἐν *Διεξοδ. Γραμμ. τῆς Ἑλλ. Γλώσσ.* Τόμ. Α', σελ 313 ἐκδ. β' ὅτι τὸ *κερδαλῆ* ἰσοδυναμεῖ τῷ *ἀλωπεκῇ*. Πρβ. Θησ. Στεφ. Τόμ. Δ', σελ 1467 «Κερδαλέη, et per contr. Κερδαλῆ. ἡ, Vulpina pellis. Gregor.: Τῇ λεοντῇ τὴν κερδαλῆν ἐγκρύπτων, i. e. τὴν ἀλωπεκῆν· ut in proverbio Ἂν ἡ λεοντῆ μὴ ἐξίκηται, τὴν ἀλωπεκῆν πρόσαψον, s. potius πρόσραψον: ad quod alludere etiam videtur Greg. Sed Κερδάλη [Astuta] Hesychio ipsa vulpes. [Scrib. Κερδαλῆ. Idem accentus vitium in Greg. Naz. Or 4. p. 116, B, correxit Lob. ad Phryn. p. 78. Plato Rep. 2, p. 365, C: Τὴν τοῦ σοφωτάτου Ἀρχιλόχου ἀλώπεκα ἑλκτέον ἐξόπισθεν κερδαλέαν καὶ ποικίλην. Aelian. N. A. 6. 64: Ἡ ἀλώπηξ πονηρὸν ζῷόν ἐστιν· ἔνθεν τοι καὶ κερδαλέην οἱ ποιηταὶ καλεῖν φιλοῦσιν αὐτήν. Alios aliorum ll. v. ap. Iacobs. ad Anth. vol. 6, p. 175]».

Si *tale* verum est. idem valebit ac *perfectum bonum*, totaque sententia sic explicanda est: *ni deus sit perfectum bonum*. Tum vero pro eo quod paullo ante est *in eo* scribendum est *eum* i. e. deum, cuius pronominis illud *perfectum bonum* sit prædicatum q. v. Sed ex eis quæ deinceps secuntur: «erit enim eo præstantius aliquid *perfectum possidens bonum*», ubi postremis verbis quæ sententia est in illis *perfectum quoque in eo bonum esse* totidem fere verbis repetitur, apparet illud *in eo* mutari non debere. Cf. etiam 31 sqq. Sequitur ut illud *tale* corrigendum sit, idque optime fiet, si pro eo q. e. *si tale sit* rescripseris *si ita res sit*. Corruptionis gradus hi fere videntur fuisse SIITARESSIT, SITARESIT, SITALESIT.

Ib. 85 «*Et* pulchrum, inquam, hoc atque speciosum». Si verum *et* esset, sequi debuit *et speciosum* non *atque*. Sed verum non esse arguit Planudes vertendo ὡς, quod non est *et*, sed *ut*.

Ib. 100. «Hæcine omnia *bonum* sufficientia potentia cete-

raque veluti quædam beatudinis membra sunt an ad bonum . . . referuntur?»

Ne quis cum eis, qui codicem A et Planudis librum (qui vertit τὰ ἀγαθὰ) scripserunt, pro eo quod est *bonum* reponat *bona*, cum tota argumentationis series vetat, tum maxime quæ vv. 112 sq. leguntur: *ad bonum vero cetera referri palam est*, ubi *cetera* sunt *sufficientia* etc., quæ cum *cetera* dicuntur in eodem ponuntur ordine atque *bonum*.

Cap. XI, 61: «quid quod mollissimum quidque, sicuti medulla est, interiore semper sede reconditur, extra vero *quadam ligni firmitate*, ultimus autem cortex adversum cæli intemperiem . . . . opponitur».

Tria sunt hic enuntiata, quorum primum verbo *reconditur* finitur, tertium ab eo quod est *ultimus* incipiens ad verbum *opponitur* pertinet, alterum, quod verbis *extra* . . . . *firmitate* constat, verbo quod proprie dicitur caret, quod neque ex primo, neque ex tertio mutuari licet. Quare aliquid mendi hic latere arbitror, quam suspicionem confirmant verba, quibus locum de quo agitur Planudes interpretatur: περὶ δὲ τοῦτο ξύλου τίς ἐστιν εὐτονία, quibus hæc Latina respondent: *extra vero qaædam ligni firmitas est*. Apparet igitur traditam lectionem ex eis quæ sunt *firmitas*ē (=firmitas est) pro eo quod est *firmitat*ē (=firmitatem) male acceptis ortam esse.

Cap. XII, 2: «Nam me horum iam secundo commemoras, primum *quod* memoriam corporea contagine, dehinc cum mæroris mole pressus amisi».

Præter sententiam etiam orationis conformatio docet pro eo quod est *quod* scribendum esse *cum*. Nam eis quæ sunt *primum cum* respondent illa *dehinc cum*.

Ib. 42: «vigilantius ad cernenda vera oculos d*e*ducis».

Oculi ad cernendum aliquid *diducuntur* i. e. aperiuntur, non *deducuntur*

Ib. 64. Ante verba *accepisti inquit* Planudes quædam legisse videtur, quæ nunc in codd. non apparent. Inserit enim hæc: Ἡ δὲ τῶν πρότερον ἐχομένη.

Ib. 80: «etenim paullo ante beatitudine incipiens eam summum bonum esse dicebas eqs.».

Cum eis codd. qui *a beatitudine* habent facit Planudis interpretatio.

LIBER IV.

Cap. I, 4 sqq: «quæ usque adhuc tua fudit oratio». Haec sic vertit Planudes: τὰ τῇ σῇ γλώσσῃ τῇ βρυούσῃ χάρισιν εἰρημένα; in cuius codice plenior hic locus extitisse videtur.

Carm. I, 7:

quique agili motu calet ætheris
transcendit ignis verticem,

In hac scriptura ordo verborum hic est: Transcendit verticem ignis, qui calet motu ætheris; quæ sententia nescio an nemini probari possit. Nam quis probet ignem calere ætheris motu ac non contra ignis ardore ætherem calefieri. Quare mea quidem sententia longe præstat huic scripturae illa, quæ in Planudis codice Boethiano fuisse videtur:

quique agili motu calet ætheris
transcendit *inde* verticem.

Haec enim scriptura ad verbum respondet Græcis illis:

καὶ κορυφὴν ζείουσαν αὖ αἰθέρος
ῥύμῃ θοῇ παρέρχεται,

ubi in transcursu monendum male interpretem Latina verba sic ordinasse: transcendit inde agili motu verticem ætheris, qui calet. Nam et verborum collocatio docet illa *agili motu* ex eo q. e. *calet* pendere, et *velox* dicitur paullo infra æther v. 17. Sed, ut ad Planudei codicis scripturam revertamur, haec quidem scriptura multum, ut iam dixi, præstat vulgatæ, sed tamen nemini suadere ausim, ut eam in poetæ verba recipiat. Vix enim hac lectione probata intellegas quo modo is, qui ætheris *vertice superato* ad siderum sedes pervenerit, cum eis percursis ad summam sedem rectoris omnium ascenderit, tum demum dicatur dorsum ætheris premere. Qua re de huius loci vel emendatione vel interpretatione nihil ipse statuens aliis quærendum relinquo.

Ib. 33:

Huc te si reducem referat via,
Quam nunc requiris immemor;
Haec dices, memini. patria est mihi.

Haec est editoris distinctio, ex qua illa *quam . . . . immemor* ad ea, quæ proxime antecesserunt, referenda sunt. At Planudes haec verba ad ea, quæ mox secuntur «haec dices eqs», refert. Quæ ratio multo mihi elegantior videtur. Sic enim illa *immemor* et *memini*, quorum notiones artissimo inter se vinculo nexæ sunt, in oratione quoque coniunctæ erunt hoc modo: cuius patriæ nunc *immemor* es, tum *meminisse* te dices.

Ib. 85: «ex quo fit. . . . ut *idem* scelesti *idem* viribus omnibus videantur esse deserti. Cur enim relicta virtute vitia sectantur? inscitiane bonorum? sed quid enervatius ignorantiæ cæcitate? an sectanda *noverunt? sed transversos eos libido praecipitat:* sic quoque intemperantia fragiles, qui obluctari vitio nequeunt.

Illud *idem* fortasse utrobique delendum. Præterea interro-

gandi signum post illud *noverunt* positum simplici commati locum cedere et post illud *praecipitat* transmigrare debebit. Nexus enim orationis hic est: «An sciunt *quidem* bona sectanda esse, sed per libidinem sectari ea nequeunt? hac quoque causa probata se imbecillos esse concedant necesse est, cum a libidine vincantur». Sic igitur distinguendus est is de quo agitur locus: *An sectanda noverunt, sed... praecipitat? Sic quoque etc.*

Carm, II, 8:

Mæror aut capt*u*s fatigat aut spes lubrica torquet.

Recte in quibusdam libris est *capt*os. Quid legerit Planudes, qui vertat λύπης κάκωσις, incertum est.

Cap. III, 40: «quos omnium malorum extrem*a* nequitia non affecit modo, verum... infecit»;

Ex eo quod Planudes vertit *τῷ κολοφῶνι* τῶν κακῶν πάντων (*φημὶ τῇ κακίᾳ*) eqs. colligere licet in eius exemplo Boetiano fuisse ex*trem um*.

Carm. III, 16. Postquam Philosophia de Circae mirifica arte, qua hospites in varias beluas vertebat, superioribus versibus exposuit, transit ad sociorum Ulixis in sues mutationem, eiusdem deae arte effectam:

Sed licet variis malis
Numen Arcadis alitis
Obsitum miserans ducem
Peste solverit hospitis
Jam tamen mala remiges
Ore pocula traxerant.

Illud *sed* locum hic non habet. Nam quae sequitur sententia: *etiam* Ulixis socios, quamvis dux Mercurii ope malum vitaverit, magicarum Circae artium vim exitialem sensisse, non

adversatur eis quae adhuc dicta sunt; immo vero ea confirmat. Neque hanc particulam si legisset Planudes, vertisset *κἂν δέ*. Quae cum ita sint, pro illo *sed* rescribendum est *et*.

Cap. IV, 11: «quod incredibile *cuiquam* forte videatur» Cum Planudes haec verba sic vertat «ὅπερ ἴσως *δὴ* καὶ ἄπιστόν τινι δόξει», verisimile videtur in eius codice Boetiano pro eo quod nostri codices habent *cuiquam* scriptum fuisse *qui quidem*, idque fortasse verius est; nam pronomini *cuiquam* nullus hic locus.

Possitne particula *quidem* quem hic obtinet locum occupare non dubitabis, si quæ infra v. 58 leguntur contuleris: «Habent igitur improbi, cum puniuntur, quidem boni aliquid eqs.».

Ib. 30 sqq. «Mira quidem, inquam, et concessu difficilis oratio, sed his ea quæ prius concessa sunt nimium convenire cognosco. Recte, inquit, *sed* qui conclusioni accedere durum putat, aequum est vel falsum aliquid præcessisse demonstret vel collationem propositionum non esse efficacem necessariæ conclusionis; alioquin concessis præcedentibus nihil prorsus est quod de inlatione causetur.

Ut nunc locus hic editur Philosophia mirum in modum nugari videtur. Cum enim Boetii sententiam rectam esse concesserit, qui dixisset miram quidem esse illam inlationem sed tamen e logicæ artis legibus esse conclusam, sic ea, quæ deinceps dictura est, particula *sed* inducit, tamquam si aliquid allatura sit quod illius sententiae vim artioribus eisque iustioribus finibus coërcere videatur; nec tamen quidquam aliud affert nisi hanc ipsam Boetii sententiam accuratius explicatam. Quod si Philosophiae gravitatem suam restituere vis, pro eo quod est *sed*, scribe *si quidem*, quo facto quae secuntur ita inducuntur, ut quae ad Boetii sententiam confirmandam pertineant.

Ib. 58 sqq. Langeni transpositionem prorsus necessariam esse judico mirorque cur eam editor in adnotatione tantum commemoraverit.

Ib. 106: «quid si quis amisso penitus visu ipsum etiam se habuisse oblivisceretur intuitum nihilque sibi ad humanam perfectionem deesse arbitraretur, num videntes eadem *caecos* putaremus».

Et sententia docet scribendum esse *caeco* (i. e. eadem quae caecus) et eodem ducunt verba quibus Planudes h. l. interpretatur: *ταὐτὰ τῷ τυφλῷ*. Cum tamen in re tam manifesta nihil editor adnotet, pro certo est illud *caecos* merum esse typothetæ errorem, editoremque *caeco* edere voluisse.

Ib. 113: «Qui igitur supplicio digni sunt, miseros esse *non* dubitas?»

Aptius multo quod Planudes legisse videtur *num*.

Ib. 120: «Hac igitur *aliis* de causis... apparet eqs.».

Aliisque quod necessarium est unum Planudis exemplar praebet, ut docent eius verba: ταύτῃ τῇ αἰτίᾳ... *καὶ* ἑτέραις.

Ib. 132 sqq. Sic distinguendus est hic locus: «Ipsi quoque improbi, si eis... virtutem relictam fas esset aspicere vitiorumque sordes... cruciatibus se depositurus viderent, compensatione adipiscendae probitatis nec hos cruciatus esse ducerent defensorumque operam repudiarent eqs.».

Sententia est: si improbi viderent cruciatibus se deposituros vitia ac virtutem adepturos, cum cogitarent compensari probitatis adeptione cruciatuum dolores, cruciatus illos non esse cruciatus putarent eqs.

In editione non est comma post *viderent*, est post *probitatis*. Male utrumque.

Ib. 144: 145: «quorum mentes... *urget* improbitas». In

Planudeae interpretationis codicibus *urget* vertitur ἐκτρέχει. Sed Planudes dubium non est quin ἐκτρύχει scripserit.

Carm. V, 19: Sic distinguendum:

cuncta quae rara provehit aetas
stupetque subitis nobile volgus,
cedat inscitiae nubilus error,
cessent profecto mira videri;

i. e. si cedat error, cessent mira videri cuncta quae rara aetas provehit volgusque propterea *stupet* i. e. miratur.

Cap. VI, 1 sqq.: «cum tui muneris sit... causas evolvere velatasque caligine explicare rationes, quaeso uti quae *hinc* decernas... edisseras».

Hinc pro eo q. e. *de hac re* non videtur accipi posse. Atqui aliter explicari quo est loco non potest. Ergo placet mihi Planudei codicis collocatio, in quo *hinc* ante illud *quaeso* est. Qua collocatione probata *hinc* explicabitur *ob haec.*

Ib. 72: «Quod si supernae mentis haeserit firmitati, motu carens fati quoque *supergreditur* necessitatem».

Planudes: προσαναβήσεται, quod est *supergredietur;* idque grammatica etiam ratio postulat.

Ib. 85: «Ita enim res optime reguntur, si manens in divina mente simplicitas indeclinabilem causarum ordinem probat, hic vero ordo res mutabiles et alioquin temere fluituras propria incommutabilitate coerceat.

Commate reposito post illud *promat*, pro quo in editione fuerat punctum, sententiarum nexum restitui.

Ib. 141 sqq.: «quosdam remordet, ne longa felicitate luxurient, alios duris agitari, ut virtutes... confirment.

Post illud *agitari*, quod nihil habet unde pendeat, *sinit* inserere iubet editor. Sed fortasse in eo q. e. *remordet* sedes mali quaerenda. Pro eo enim Planudes habet ἀηδοῦς *συγχωρεῖ* πειραθῆναι.

Ib. 147: Nonnulli venerandum *saeculi* nomen gloriosae pretio mortis emerunt».

Scribendum videtur *saeculis*, quod ex eo q.e. *venerandum* pendeat.

Ib. 180: «dum se eis dissimiles student esse quos oder*a*nt». Scr. oder*u*nt.

Carm. VI, 12: «cupit oceano *tinguere* flammas».
Pl. *σβέσαι*. Legeratne *stinguere*?

Ib. 33: «Obitu *mergens* orta supremo».
Illud *mergens* in Planudeae interpretationis codicibus vertitur *βύουσα*. Sed Planudem *δύουσα* scripsisse pro certo habeo.

C. VII, 22: «Quid vero iucund*a*, quae in praemium tribuitur bonis, num vulgus malam esse decernit?»
Scr. iucund*am*. Item mox v. 26 scr. *reliqua*m.

Ib. 32 sqq: «ex his enim... evenit eorum quidem qui *vel* sunt vel in possessione, vel in adeptione virtutis omnem.... bonam..... esse fortunam».
Primum *vel* cum scriptoribus codicum E et A eiciendum erat.

Ib. 41: «illi vero *conformandae* sapientiae difficultas ipsa materia est».
Conformandi omnes codices. Nec Planudes in suo diversam lectionem invenisse videtur, quippe qui vertat *χαρακτηρίσαι*. Sed ratio et ipsius Boetii auctoritas, quæ omni codice potior est, docet scribendum esse *confirmandi*. Idem enim ver-

bum eadem de re legitur supra (cap. VI. 142: «alios duris agitari, ut virtutes animi patientiae usu utque exercitatione *confirment*.

Ib. 42 sqq: « Ex quo etiam virtus vocatur, quod *suis viribus nitens* non superetur adversis »

Egregia medius Fidius doctrina, quam tamen Graeci interpretis acumen longe superat, cuius haec sunt verba: ἀρετὴ λέγεται ὡς ἑαυτὴν αἴρουσα καὶ ὑψοῦσα ! !

Carm. VII, 7:

Fœderat natae iugulum sacerdos.

Recte A codicis scriptor correxit *Foderat*, quocum facit Planudis interpretatio, in qua est *σφαγίασσε*.

Ἀθήνησι μεσοῦντος Μαΐου 1892

ΣΠΥΡ. ΒΑΣΗΣ

Προσθῆκαι εἰς τὸν Γ′ τόμον.

σελ. 298, 28. Ἴδε Κόβητον ἐν *Μνημοσ.* 1878, σελ. 133.

σελ. 302, 26. Ἐν τοῖς εἰς Πλάτωνα Σχολίοις Γοργ. σελ. 494 έ γίνεται ἐξήγησις τοῦ *κιναίδων* διὰ τοῦ *ἀσελγῶν, μαλακῶν.* Φέρεται δὲ καὶ εἰς Συμπόσ. σελ. 172 ά σχόλιον ἔχον ὧδε· «Ἀγάθων τραγῳδίας ποιητὴς εἰς *μαλακίαν* σκωπτόμενος Ἀριστοφάνει ἐν Γηρυτάδῃ· ἦν δὲ Τισαμενοῦ τοῦ Ἀθηναίου υἱός, παιδικὰ γεγονὼς Παυσανίου τοῦ τραγικοῦ». Πρβ. καὶ Σχολ. Ἀριστοφ. σελ. 65, 39 καὶ σελ. 76, 2 Διδ. Ἐν τοῖς Ἠθικοῖς τοῦ Πλουτάρχου κεῖται σελ. 88 γ′ «μὴ λοιδόρει *κίναιδον* μηδὲ *μαλακὸν* μηδ' ἀκόλαστον» (Πρβ. καὶ σελ. 89 έ). Λέγει δ' ὁ Πλούταρχος καὶ ἐν τῷ Γαΐῳ Γράκχῳ κεφ. Δ′, 4 «Ἐπεὶ δὲ διαβεβλημένος ἦν εἰς *μαλακίαν* ὁ λοιδορηθείς, τίνα δ', εἶπεν, ἔχων παρρησίαν συγκρίνεις Κορνηλίᾳ σεαυτόν; ἔτεκες γάρ, ὡς ἐκείνη; Καὶ μὴν πάντες ἴσασι Ῥωμαῖοι πλείω χρόνον ἐκείνην ἀπ' ἀνδρὸς οὖσαν ἢ σὲ τὸν ἄνδρα» καὶ ἐν τῷ Κικέρωνι κεφ. Ζ′, 5 «Ἦν δὲ τῷ Οὐέρρῃ ἀντίπαις υἱός, οὐκ ἐλευθερίως δοκῶν προίστασθαι τῆς ὥρας. Λοιδορηθεὶς οὖν ὁ Κικέρων εἰς *μαλακίαν* ὑπὸ τοῦ Οὐέρρου, τοῖς υἱοῖς, εἶπεν, ἐντὸς θυρῶν δεῖ λοιδορεῖσθαι» (Πρβ. καὶ Ἠθικ. σελ. 204 ς′). Παρατιθέμεθα καὶ τὰ ὑπὸ Διονυσίου τοῦ Ἁλικαρνασσέως γεγραμμένα ἐν τῇ Ῥωμαϊκῇ Ἀρχαιολογίᾳ σελ. 1315 «Ὁ δὲ τυραννῶν τότε τῆς Κύμης Ἀριστόδημος ἦν ὁ Ἀριστοκράτους, ἀνὴρ οὐ τῶν ἐπιτυχόντων ἕνεκα γένους, ὃς ἐκαλεῖτο *Μαλακὸς* ὑπὸ τῶν ἀστῶν καὶ σὺν χρόνῳ γνωριμωτέραν τοῦ ὀνόματος ἔσχε τὴν ἐπίκλησιν, εἴθ' ὅτι *θηλυδρίας ἐγένετο παῖς ὢν καὶ τὰ γυναιξὶν ἁρμόττοντα ἔπασχεν*, ὡς ἱστοροῦσί τινες, εἴθ' ὅτι πρᾶος ἦν φύσει καὶ μαλακὸς εἰς ὀργήν, ὡς ἕτεροι γράφουσιν».

σελ. 308, 13. καὶ ἐν ἐπιγραφῇ κειμένῃ ἐν τῷ Ἑρμῇ (1888, σελ. 535 καὶ 536) *πΕΙπτων.*

σελ. 320, 27. καὶ ἐν τοῖς εἰς Πλάτωνα Σχολίοις Πολιτ. σελ. 55C

γ' «ἀπὸ τοῦ Φ' μέτρα ξηρὰ καὶ ὑγρὰ *ποιεῖν* κληθέντες» καὶ μετ' ὀλίγα «*ἐποίουν* δὲ μέτρα Τ'» (Πρβ. καὶ Κόβητον ἐν *Nov. Lect.* σελ. 647).

σελ. 328, 2-3. Ὁ Κοραῆς γράφει ἐν τῇ ἐκδόσει τῶν Πλουτάρχου Πολιτικῶν σελ. 169 «Προστίθει τοῖς ἀνωτέρω (σελ. 161-162) λελεγμένοις, ὅτι καὶ Κικέρων ἀποδοκιμάζων δῆλός ἐστι τὸν Σόλωνος νόμον ἐν οἷς πρὸς Ἀττικὸν γράφων (*Epistol. ad Attic.* X, 1.) φησίν, Ego vero Solonis legem negligam, qui capite sanxit, si qui in seditione non alterius utrius partis fuisset, τουτέστιν, *Ἐγὼ δὲ χαίρειν φράσω τῷ Σόλωνος νόμῳ τῷ κελεύοντι ἄτιμον εἶναι τὸν ἐν στάσει μηδετέρας μερίδος γενόμενον*. Γέλλιος δὲ (Aul. Gell. *Noct. Attic.* II, 12), τοὐναντίον, ἐπαινεῖ τὸν νόμον, ὡς τοῦ παύειν μᾶλλον ἢ αὔξειν τὴν στάσιν ἕνεκα τεθειμένον, non ad augendam, sed ad desinendam seditionem legem hanc esse. Τί οὖν φατέον, ἢ πρακτέον τῷ χρηστῷ πολίτῃ ἐν καιροῖς οὕτω χαλεποῖς; πρὸς τοὺς καιροὺς δηλονότι πολιτευτέον. Εἰ μὲν γὰρ ἑκάτεροι ἰδίων ἕνεκα κερδῶν στασιάζουσιν, μηδετέροις προστιθέμενον, ἀλλ' ἴσον ἀμφοτέροις καὶ κοινὸν δικαστὴν παρέχοντα, διαλύειν πειρατέον· μὴ πείθοντα δέ, ἡσυχίαν ἄγειν ἄμεινον. Εἰ δὲ μία ἐστὶν ἡ νοσοῦσα μερὶς ὁποτέρα, καὶ πάλιν λόγῳ καὶ πειθοῖ θεραπευτέον τὸ νόσημα· ἀπειθούσης δέ, τῇ τὰ δίκαια πρεσβευούσῃ μερίδι προσθέμενον συγκινδυνευτέον μᾶλλον, ἢ τὰ τῇ πατρίδι συμφέροντα προδοτέον».

σελ. 357, 2-3. Παράδοξον ἡμῖν φαίνεται ὅτι ὁ Κοραῆς ἔγραψε *Φυάν* ἀντὶ τοῦ *Φύην* ἐν τῷ Διαλόγῳ ὃν προέταξε τῶν ὑπ' αὐτοῦ ἐκδοθέντων Πολιτικῶν τοῦ Πλουτάρχου σελ. 69 «Ἐδιάλεξε μίαν ἀπὸ τὰς ὡραιοτέρας γυναῖκας τῆς Ἀττικῆς, τὄνομα *Φυάν*, ὁ καλός σου Πεισίστρατος» καὶ σελ. 70 «Ἐπίστευσαν — τὴν *Φυὰν* Ἀθηνᾶν» καὶ σελ. 71 «ἐσυνωδεύετο κεῖνος μὲ τὴν *Φυὰν* Ἀθηνᾶν». Κεῖται δὲ καὶ ἐν τῷ περὶ Πολιτειῶν συγγράμματι τοῦ Κοκκώνη Τόμ. Α', σελ. 149 «Εὕρηκε μίαν Ἀθηναίαν γυναῖκα μεγαλόσωμΟΝ καὶ εὔμορφΗΝ, *Φυὰν* λεγομένην». Λέγεται ἑλληνιστὶ *φυή* καὶ δωριστὶ *φυά*. Ἀλλὰ τὸ κύριον ὄνομα ἐξεφέρετο παροξυτόνως *Φύη*. Ἴδε Λέρσιον ἐν τῷ *De Arist. Stud. Hom.* σελ. 288 ἐκδ. β'. Πρβ. καὶ Λέντζιον ἐν τῇ συναγωγῇ τῶν τοῦ Ἡρωδιανοῦ Τόμ. Α', σελ. 306, 26.

σελ. 365, 29. καὶ Τόμ. Α', σελ. 103, 31 «μηδὲ φανείην *ὀδύνας*

καὶ σφακέλους ἀποδρεπόμενος, τοῦτο δὴ ὅπερ Ἀθηναῖός τις γεωργὸς πρὸς τὸν Πεισίστρατον ἀπεκρίνατο».

σελ. 574, 22. Πρβ. καὶ Λόγ. Ἑρμ. Τόμ. Ε', σελ. 126.

Προσθῆκαι εἰς τὸν Δ' τόμον.

σελ. 16, 5. Πολύβ. Δ', 83, 2 «σπεύδων — κατὰ πάντα τρόπον *ἀνακομίσασθαι*».

σελ. 16, 6. καὶ σελ. 474 «ὅπως ἂν αὐτὴν *ἀνακομισαίμεθα*».

σελ. 27, 33. Ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις κεῖται σελ. 41, 2 Διδ. «χωρίζετε οὖν—Χαλκιδέας *ἀπὸ τῆς* τῶν Ἀθηναίων *συμμαχίας*».

σελ. 28. 5. Ἐλέχθη δ' ὑπὸ τοῦ Διονυσίου σελ. 424 «οὐ μόνον ἀπόστασιν ἐβούλευσαν *ἀφ' ὑμῶν* ἀλλὰ καὶ ἐπανάστασιν» καὶ σελ. 1146 «πεποίηται τὴν ἀπόστασιν *ἀπ' αὐτῶν* ὁ δῆμος» καὶ σελ. 1149 «δι' ἃς ἀνάγκας *ἀπ' αὐτῶν ἀπέστη*».

σελ. 53, 31-2. Περὶ τῆς λέξεως *ἐπάναγκες* ἐποιήσατο λόγον καὶ ὁ Λέρσιος ἐν *Quaest. Ep.* σελ. 143.

σελ. 58, 18. Ἐν τῷ κατὰ Τιμάρχου λόγῳ τοῦ Αἰσχίνου ἀπαντᾷ § 110 «ταμίας ἦν τῶν *τῆς θεοῦ* Ἡγήσανδρος».

σελ. 61, 31. Λέγεται δὲ καὶ *εὑρίσκεσθαί τι ἀπό τινος*, ὡς παρὰ τῷ Θουκυδίδῃ βιβλ. Α', 31 «*ὠφελίαν* τινὰ πειρᾶσθαι *ἀπ' αὐτῶν εὑρίσκεσθαι*».

σελ. 81, 27. ἐν δὲ τοῖς Νόμοις σελ. 861 έ «βλάβαι μὲν — ἀλλήλων τῶν πολιτῶν ἐν ταῖς *κοινωνίαις* τε καὶ *ὁμιλίαις* πολλαὶ γίγνονται».

σελ. 91, 24. Φέρεται δ' ὅμως καὶ ἐν ἀποσπάσματι τοῦ Εὐριπίδου (Τραγ. Ἑλλ. Ἀποσπ. Ναυκ. σελ. 387, 93 ἐκδ. β') «*κἀφ' ὅτῳ* τεταγμένος εἴη τις, ἀνδάνοντα δεσπόταις ποιεῖν (ποεῖν)».

σελ. 106, 7. Ἐν βιβλ. Ε', γ', 5 λέγει ὁ Ἀριστοτέλης «ὁ ναυτικὸς ὄχλος γενόμενος αἴτιος τῆς περὶ Σαλαμῖνα νίκης καὶ διὰ ταύτης τῆς ἡγεμονίας διὰ τὴν κατὰ θάλασσαν δύναμιν τὴν δημοκρατίαν ἰσχυροτέραν ἐποίησεν».

σελ. 106, 15. Πλούτ. Ποπλικ. Κ', 2 «ὡς δὴ κατὰ τὸ συγχώρημα τῆς τιμῆς ἀεὶ τοῦ δημοσίου προσεπιλαμβάνοι».

σελ. 106, 24. Γράφει δὲ καὶ ἐν τοῖς Πολιτικοῖς ὁ Ἀριστοτέλης βιβλ. Γ', ι, 5 «Διὰ τοῦτο καὶ κρίνει ἄμεινον ὄχλος πολλὰ ἢ εἷς ὁστισοῦν. Ἔτι μᾶλλον ἀδιάφθορον τὸ πολύ· καθάπερ ὕδωρ τὸ πλεῖον, οὕτω καὶ τὸ πλῆθος τῶν ὀλίγων ἀδιαφθορώτερον» (Πρβ. καὶ 7 κἑξ.).

σελ. 125, 17. ὁ ὑπὸ τοῦ Κοβήτου ἐν *Παρατ. εἰς Διον. Ἁλικ. Ῥωμ. Ἀρχ.* σελ. 88 μεταβάλλεται εἰς τὸ «*ΕΓγεγραμμένη* τὰς γενομένας αὐτοῖς ὁμολογίας», τουτέστι: ἐγγεγραμμένας ἔχουσα τὰς ὁμολογίας.

σελ. 125, 21. καὶ ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις σελ. 55, 45 «ἵπποι *ἐγκεχαραγμένοι τὸ Σ σημεῖον*» καὶ ἐν τοῖς εἰς Εὐριπίδην Τόμ. Α', σελ. 336, 5 Δινδ. «ὅτι δὲ κρόκινός ἐστι — καὶ *τοὺς Γίγαντας ἐμπεποίκιλται* δηλοῖ Στράττις».

σελ. 282, 30-1. Ἄλεξ. παρ' Ἀθην. σελ. 170 ά «τὸ πρῶτον μὲν λάβ' ἐλθὼν *σήσαμα*». Ἄλλα παραδείγματα ἐκ τῆς κωμικῆς ποιήσεως ἴδε ἐν τῷ ὑπὸ τοῦ Ἰακώβου πεφιλοπονημένῳ Πίνακι τῶν Λέξεων τῶν φερομένων ἐν τοῖς Ἀποσπάσμασι τῶν Ἑλλήνων Κωμικῶν σελ. 937-8.

σελ. 292, 25. Τῷ *δρακοντοτριχοῦΣαι* ὅμοιον εἶνε τὸ ἐν τοῖς εἰς Ὀδύσσειαν Σχολίοις κείμενον *ἐϋπλοκαμοῦΣα* σελ. 248, 1 Δινδ. «Γράφεται καὶ οὕτως· δαιομένων, νύμφη δὲ *ἐϋπλοκαμοῦσα* Καλυψώ». Πρβ. καὶ Κοραῆν ἐν *Ἀτάκτ.* Τόμ. Α', σελ. 54.

σελ. 302, 5. καὶ σελ. 959 έ «οὐχ ὡς *γαλαῖ* καὶ αἴλουροι τροφῆς ἕνεκα διὰ λιμόν».

σελ. 316, 15-6. Ἄξιον ἐπιστάσεως εἶνε ὅτι ἐκ τοῦ *στυππεῖον* ἐσχηματίσθη ἐπίθετον *στύππινος*. Ὁ Φρύνιχος ἀποφαίνεται ἐν τῇ Ἐκλογῇ σελ. 261 «*Στυππέϊνον* τετρασυλλάβως οὐ χρὴ λέγειν ἀλλὰ ἄνευ τοῦ Ε τρισυλλάβως *στύππινον*, ὡς οἱ ἀρχαῖοι». Ἐν τῇ Σοφιστικῇ Προπαρασκευῇ γράφει ὁ Φρύνιχος σελ. 33, 12 «Γέρων *στύππινος*: ἤτοι λευκὸς καὶ πολιός, ἐπειδὴ τὰ *στύππινα* λευκά εἰσιν· ἢ τὸν ἀσθενῆ δηλοῖ, ἐπειδὴ ἀσθενέστερά ἐστι τὰ *στύππινα* τῶν λινῶν» (Ἴδε Λοβέκκιον εἰς *Φρύν.* σελ. 261-2). Τὸ προκείμενον ἐπίθετον εὕρομεν καὶ παρὰ τῷ Ἐρωτιανῷ σελ. 103, 4 «Ὅπλα: ὁ Βακχεῖός φησι τὰ *στύππινα* σχοινία». Πολλάκις δὲ γίνεται αὐτοῦ χρῆσις ἐν ταῖς Ἀττικαῖς Ἐπιγραφαῖς (Ἴδε Μειστεράνσιον ἐν *Γραμματ. τῶν Ἀττ. Ἐπιγρ.* σελ. 74 ἐκδ. β').

Ἐν Τόμ. Γ', σελ. 362, 17 καὶ ἀλλ. γραπτέον: *Γραμματ. τῶν Ἀττ. Ἐπιγρ.*

Ἐν Τόμ. Δ', σελ. 306, 29. ἐξαλειπτέον τὸν σύνδεσμον *καί*.

Μελιγάρυας - μελιγηρέας.

Ἐν τοῖς Ἠθικοῖς τοῦ Πλουτάρχου σελ. 405 ς' (σελ. 495, 8 Διδ.) κεῖται «Ἢ μηδένα νῦν ἐρᾶν, ὦ ξένε, λέγωμεν, ἀλλὰ φροῦδον οἴχεσθαι τὸν ἔρωτα, ὅτι μέτροις οὐδεὶς οὐδ' ᾠδαῖς ῥίμφα παιδίοις, ὡς Πίνδαρος ἔφη, τοξεύει *μελιγηρέας* ὕμνους;»

Ὁ Πίνδαρος εἶπεν ἐν Ἰσθμ. Β', 3 «ῥίμφα παιδείους ἐτόξευον *μελιγάρΥας* ὕμνους».

Δεινὸν σφάλμα εἶνε ἡ διὰ τοῦ Ε ἐκφορὰ τῆς περὶ ἧς ὁ λόγος αἰτιατικῆς· διότι, ὡς πᾶς τις μὴ ὅλως Ἑλληνικῆς παιδείας ἄγευστος ὢν γινώσκει, τὸ σύνθετον ὄνομα *μελίγηρυς* καὶ δωριστὶ *μελίγαρυς* ὁμοίως τῷ ἁπλῷ *γῆρυς* κλινόμενον ἐκφέρεται διὰ τοῦ Υ, οὐχὶ διὰ τοῦ Ε, οἷον *παρθενικαὶ μελιγάρυες*, *μελιγάρυες ὕμνοι*, *μελιγαρύων τέκτονες κώμων*.

Εὕρομεν δ' ἐν τοῖς Ἠθικοῖς τοῦ Πλουτάρχου καὶ τὸν Ἰωνικὸν τύπον *Κίρρη* σελ. 294 ά (σελ. 362, 20) «Μετὰ ταῦτα Κίρραν κατέσχον. Ἐν δὲ *Κίρρῃ* καταλεύσαντες Οἴνοκλον τὸν βασιλέα, τοῦ θεοῦ προστάξαντος, εἰς τὴν περὶ τὸν Ἴναχον χώραν κατέβησαν». Ἐπειδὴ ἀτοπώτατον φαίνεται νὰ ὑποληφθῇ ὅτι ὁ Πλούταρχος ἐποιήσατο χρῆσιν τοῦ Ἰωνικοῦ τύπου *Κίρρῃ*, μεταβάλλομεν αὐτὸν ἄνευ ὄκνου εἰς τὸν Ἀττικὸν *Κίρρᾳ*.

Ἐν Κραμ. Ἀν. Ὀξ. Τόμ. Γ', σελ. 247, 16 φέρεται «Εἰσὶν οἳ σφάλλονται περὶ τὴν γενικὴν λέγοντες τῆς *ξύστρης* καὶ τῆς *γεφύρης*, δέον διὰ τοῦ Α τῆς *ξύστρας* καὶ τῆς *γεφύρας* κτέ.»

Περὶ τοῦ *σπείρης* καὶ *σφύρη*, κτλ. θὰ γράψωμεν ἐν ἑτέρῳ τόπῳ. Ἴδε Κόβητον εἰς *Καιν. Διαθ.* σελ. οε' (Πρβ. καὶ Ναύκιον εἰς *Ἰάμβλ. περὶ τοῦ Πυθαγορ. Βίου* σελ. 158).

Κ. Σ. Κ.

ΕΠΙΣΤΟΛΗ ΚΡΙΤΙΚΗ ΠΡΟΣ Κ. Σ. ΚΟΝΤΟΝ

Καίπερ ὑποδεδοικώς, ὦ σοφώτατε Κόντε, μὴ ταυτηνὶ τὴν ἐπιστολὴν ἀναγνόντι σοι παραστῇ σαυτῷ λέγειν τὸ θρυλούμενον «γλαῦκ' Ἀθήναζε», ὅμως αἰτοῦμαί σε, ἐὰν μὴ ἄρα τῆς θεοῦ λίαν ἀναξίους κρίνῃς τάσδε τὰς εἰς τὴν Διονυσίου τοῦ Ἁλικαρνασσέως Ῥωμαϊκὴν Ἀρχαιολογίαν παρατηρήσεις γραμματικὰς καὶ κριτικὰς παρ' ἐμοῦ τῇ ὑμετέρᾳ ΑΘΗΝΑΙ ἀναθεῖναι. Ἀρκεσθήσομαι δὲ τοῖς παρατετηρημένοις μοι ἐν τοῖς λόγοις τοῖς ἀπὸ τοῦ δ' μέχρι τοῦ θ', ἐπεὶ περὶ μὲν τοὺς προτέρους ἄλλοθί μοι πεπραγμάτευται, οἱ δ' ὕστεροι ὑπὸ τοῦ Jacoby, οὗ τῇ ἐκδόσει χρῶμαι, οὔπω ἐκδέδονται.

Πρῶτον μὲν οὖν ἐπιστροφῆς ἄξιά μοι φαίνεται ἃ περὶ Σερουίου Τουλλίου ὧδε γέγραπται.

IV 3, 1, «ἔπειθ' ἑτέρας γενομένης ἐπὶ τὸ αὐτὸ ἔθνος στρατείας καὶ μάχης καρτερᾶς πρὸς πόλιν Ἤρητον ἀνδρειότατος ἁπάντων φανεὶς στεφάνοις αὖθις ἀριστείοις ὑπὸ τοῦ βασιλέως ἐκοσμεῖτο».

Ἀττικὸς μὲν γὰρ ἄν τις τῶν παλαιῶν συγγραφεὺς ἢ τὸ *στεφάνοις* ἢ τὸ *ἀριστείοις* παρέλιπεν, γνήσια δ' εἶναι ἀμφότερα τὰ ῥήματα διδάσκει ἄλλ' ἄττα χωρία, οἷον VI 94, 1 «τῇ δ' ἑξῆς ἡμέρᾳ συγκαλέσας ὁ Ποστούμιος εἰς ἐκκλησίαν τὸν στρατὸν ἔπαινον τοῦ Μαρκίου διεξῆλθε πολὺν καὶ *στεφάνοις* αὐτὸν *ἀριστείοις* ἀνέδησεν» καὶ αὖθις VIII 29, 4 «εἰ ταύτης τῆς *μάχης ἀριστείοις* ἀνεδούμην ὑπὸ τοῦ στρατηγοῦ *στεφάνοις* πολίτην ὑπερασπίσας καὶ πολέμιον ἀποκτείνας» καὶ πάλιν VIII 79, 2 «τῆς μὲν ἀνδρείας ἕνεκα τοῖς *ἀριστείοις στεφάνοις* ἐκόσμησεν». Παραπλήσια εὑρήσεις παρὰ Διοδώρῳ τε καὶ Ἰωσήπῳ καὶ ἐν ταῖς παλαιαῖς ἐπιγραφαῖς. Ὅτι μέντοι οὐχ ὑπαρκτικόν, ὡς νομίζειν δοκοῦσιν οἱ λεξικογράφοι, ἀλλ' ἐπιθετικὸν ὄνομα τὸ *ἀριστεῖος*

(οὐχὶ *ἀριστεῖον*) πάντων μάλιστα δηλοῖ τὸ ὧδε κείμενον IX 13, 3 «ἐκεῖ δ' ἐκκλησίαν ποιησάμενος τοῖς ἀγωνισαμένοις λαμπρῶς τὰς *ἀριστείους* ἀπέδοσαν *τιμάς*». Οὐκοῦν τὸ θαυμαστὸν τοῦτο ὄνομα ἐπενθετέον τοῖς λεξικοῖς.

IV 4, 1 γράφει περὶ τοῦ αὐτοῦ Σερουίου Διονύσιος τάδε «ἐπειδὴ τελευτῆσαι συνέβη Ταρκύνιον ἐπιβουλευθέντα ὑπὸ τῶν Ἄγκου Μαρκίου παίδων ἀνασώσασθαι τὴν τοῦ πατρὸς ἀρχὴν βουλομένων δόξας ὑπὸ τῶν πραγμάτων αὐτῶν ἐπὶ τὴν βασιλείαν καλεῖσθαι δραστήριος ἀνὴρ οὐκ ἀφῆκεν ἐκ τῶν χειρῶν τὸν καιρόν».

Τάχ' ἂν οἴοιτό τις διορθωτέον εἶναι *δραστήριος* ⟨*ὢν*⟩ *ἀνήρ*· διόπερ ἴσως οὐκ ἀνωφελὲς ὅμοια τούτῳ τινὰ χωρία παραθεῖναι, ὅθεν δῆλον ἔσται ὅτι τοῖς τοιούτοις ὁ Διονύσιος οὐ παρατίθησι τὴν μετοχήν. Οὕτως ἔχει τὰ κείμενα IV 38, 5 «γενόμενος δ' ἔξω τοῦ βουλευτηρίου μετέωρον ἐξαρπάσας αὐτὸν ἀκμάζων τὸ σῶμα καὶ *ῥωμαλέος ἀνὴρ* ῥιπτεῖ κτέ.» V 31, 2 «ὑβρίζεσθαι φήσας ὑπὸ Ῥωμαίων καὶ δεινὰ πάσχειν, ὅτι τῶν ἀξιουμένων οὐδετέρου παρ' αὐτῶν ἔτυχεν, *ἀνὴρ αὐθάδης* καὶ διεφθαρμένος τὴν γνώμην —, ἀφορμὰς ὑπέλαβεν ἔχειν κτέ.» VII 39, 2 «Ταῦτα δ' ἔλεγεν οὐκ ἀγνοῶν, ὅτι *μεγαλόφρων ἀνὴρ* οὐχ ὑπομενεῖ κατήγορος ἑαυτοῦ γενόμενος κτέ.» IX 39, 3 «τόν τε γὰρ πρῶτον προσελθόντα τῶν ῥαβδούχων παίων εἰς τὸ πρόσωπον ἐναντίαις πυγμαῖς *νεανίας καὶ ἐρρωμένος ἀνὴρ* ἀνατρέπει κτέ.»

IV 2, 1 «Πολλή με ἀνάγκη περιείληφεν, ἄνδρες πολῖται, κήδεσθαι τῶν παιδίων τούτων καὶ νηπίων».

Οὕτως ἐκ τῶν βελτίστων ἀπογράφων ἐξέδωκεν ὁ Jacoby, ἄλογον δὲ τὸ «τῶν παιδίων καὶ νηπίων». Εὐλογωτέρα μὲν φαίνεται, ὕπουλος δ' ἐστὶν ἡ τῶν χειρονων γραφή, «τῶν νηπίων». Καλῶς γὰρ ἕξει τὸ *καί*, ἐὰν μόνον συμπληρώσωμεν τὸ χωρίον ὧδε· «Πολλή με ἀνάγκη περιείληφεν — κήδεσθαι τῶν παιδίων τούτων ⟨ὀρφανῶν ὄντων⟩ καὶ νηπίων», καθάπερ κεῖται κάτω κεφ. 31, 2 «ἀλλ' ἡμῖν φυλάξειν σκηπτόμενος (δηλονότι τὴν ἀρχὴν) *ὀρφανοῖς οὖσι καὶ νηπίοις*». Φανερὸν δὲ ὅτι τὰ ῥήματα ταῦτ' ἐξέπεσε διὰ τὸ ἀποπλανηθῆναι τοὺς τοῦ γραφέως ὀφθαλμοὺς ἀπὸ τοῦ ΤΟΥΤΩΝ εἰς τὸ ΟΝΤΩΝ.

IV 3. 4 στικτέον ὧδε· «καὶ πάνθ' ὅσα διὰ νόσους ἢ διὰ γῆρας ἀδύνατος ἦν ἐπιτελεῖν δι' ἑαυτοῦ, τούτῳ πράττειν ἐπέσκηπτεν». Ἀδιανοήτως γὰρ ἔχει ἡ ὑποστιγμὴ κειμένη ἐπὶ τῷ *ἐπιτελεῖν*

IV 13, 2 «τόν τε Οὐμινάλιον καλούμενον καὶ ΤΟ Ἰσκυλῖνον».

Μῶν ὀρθῶς ἔχει τὸ οὐδέτερον γένος;

IV 14, 4. Ἡ μοχθηρὰ γραφὴ *τιθασσευόμενοι* ἐν τῷ διπλῷ σίγμα οὐκ εἰς τὸν συγγραφέα ἀλλ' εἰς τοὺς γραφέας ἀνοιστέα· δοκεῖ δὲ ἡ τοῦ Οὐρβινόθεν ἀντιγράφου λέξις *τιθαυσευόμενοι* οὐκ ἐντεῦθεν ἀλλ' ἐκ τοῦ *τιθασευόμενοι* διεφθάρθαι· χαλεπῶς γὰρ διαγιγνώσκεται τὸ α αι καὶ τὸ αυ.

IV 15, 6 «ὀμόσαντες τὸν νόμιμον ὅρκον, ἦ μὲν τἀληθῆ κτέ.»

Ἐπικὸν τοῦτ' ἐστὶ καὶ Ἰακὸν ἀντὶ τοῦ *ἦ μήν*, οὐκ Ἀττικὸν οὐδὲ Διονυσιακόν.

IV 26, 1. «Αἴτιόν τ' ἰσχύος μὲν ταῖς ἀσθενέσιν ἀποφαίνων ὁμοφροσύνην, ταπεινότητος δὲ καὶ ἀσθενείας καὶ ταῖς πάνυ ἰσχυραῖς ἀλληλοφθορίας».

Οὐκ ὀρθῶς ἐν ἐμοί γε κριτῇ ὁ Jacoby, ὁ πολλῶν καὶ ἀληθεστάτων τοῦ Cobet διορθώσεων ὀλιγωρήσας, ταύτην παρείληφεν εἰς τὸ ἔδαφος ἀντὶ τοῦ *ἀλληλοφθορίας*, ὅπερ ἐν πᾶσι τοῖς ἀντιγράφοις κείμενον εὐπρεπέστερον ἢ ἐκεῖνο ἀντιτίθεται τῷ *ὁμοφροσύνην*.

IV 35, 2 «ἐξέτασιν τῶν ἐμῶν ποιησάμενον ἁμαρτημάτων καὶ τὰς σαυτοῦ πράξεις ἐξαριθμησάμενον καλεῖν με εἰς διαδικασίαν».

Ἐνταῦθα φανερὸν ὅτι *πράξεις* εἰσὶ *καλαὶ πράξεις*, εἰ μὴ ἄρα πολλάκις τὸ ΚΑΛΑϹ (ἐστὶ γὰρ μέσον ῥῆμα τὸ *πρᾶξις*) ἐπὶ τῷ ΚΑΙΤΑϹ ἐκπέπτωκεν. Σαφέστερον δ' οἴομαι ὅτι μικρῷ κατωτέρω κατὰ τὴν γ' παράγραφον οὐχ ὑγιής ἐστιν ἡ *περὶ* πρόθεσις ἐν τοῖσδε «προειπόντα

δέ ⟨σ' ἔδει⟩ μοι τὸν δῆμον εἰς ἐκκλησίαν συναγαγεῖν· πλὴν ἐπεὶ σὺ τοῦτο πέφευγας, ἐγὼ *περὶ σοῦ* ποιήσω καὶ συγκαλέσας τὸν δῆμον παρέξομαί σοι δικαστὴν ὧν ἄν μου κατηγορήσῃς κτέ.» Διδάσκει γὰρ τὰ ἑπόμενα ταῦτα «καὶ συγκαλέσας — κατηγορήσῃς» ὅτι ὁ Διονύσιος ἔγραψεν *ὑπὲρ σοῦ* .

IV 43, 3 «συγκαθιέντες εἰς ὁμιλίαν τοῖς πέλας».

Συγκαθιέναι κείμενον ἀντὶ τοῦ *συγκαθίεσθαι* ἢ *συγκαθιέναι ἑαυτὸν* ἀρκούντως βεβαιοῦται τῇ ἀμεταβάτῳ χρήσει τοῦ *καθιέναι* οὐδαμῶς σπανιζούσῃ.

IV 44, 3 «ὥσθ' οἱ πατρίκιοι τὰ τούτων κακὰ καὶ τὰς λατρείας ὁρῶντες ἔχαιρόν τ' ἐν μέρει καὶ τῶν ἰδίων ἐπελανθάνοντο ἀλγεινῶν».

Ἀποβλέπει ταῦτα εἰς τὰ προλελεγμένα ἐν ἀρχῇ τοῦ μγ' κεφαλαίου, ἵνα τάδε γέγραπται «Ταῦτα δ' ὁρῶντες οἱ δημοτικοὶ δίκαια πάσχειν αὐτοὺς ὑπελάμβανον καὶ *ἐπέχαιρον* ὑπ' εὐηθείας κτέ.», διόπερ κἀνταῦθ' ἡδέως ἂν γράψαιμι «*ἐπέχαιρόν* τ' ἐν μέρει κτλ.»

IV 45, 4 «Τύρνος — πολλὴν ἐποιεῖτο καὶ Ταρκυνίου κατηγορίαν τ' ἄλλα διεξιὼν ἔργα τοῦ ἀνδρός, — καὶ τὸ μὴ παρεῖναι πρὸς τὸν σύλλογον αὐτὸν τὸν κεκληκότα».

Ἴσως τυπογραφικὸν τοῦτο σφάλμα ἐστὶν ἀντὶ τοῦ «*⟨τά⟩ τ' ἄλλα* διεξιὼν ἔργα κτέ.»

Ἐν ἀρχῇ δὲ ταύτης τῆς παραγράφου ἵνα κεῖται «οἱ μὲν δὴ παρῆσαν, ὁ δὲ Ταρκύνιος αὐτὸς [ὁ καλέσας τούτους] ὑστέρει» ὕποπτά μοι τὰ περιγεγραμμένα.

IV 48, 3 «ἡγεμόνα ποιοῦνται τοῦ ἔθνους ἐπὶ τοῖς αὐτοῖς [τοῖς] δικαίοις».

Φανερόν γε διττογράφημα τὸ ἄρθρον.

IV 56, 3 «ταῦτα ποιήσας (ὁ Ταρκύνιος δηλονότι) ἀνέστειλε τὸν ἄγγελον οὐδὲν ἀποκρινάμενος ⟨τῷ⟩ πολλάκις ἐπερωνῶντι κτέ.»

Κακῶς ὁ Jacoby προσέθηκε τὸ ἄρθρον, οὗ ἀρθέντος ὑπονοητέον «τῷ ἀγγέλῳ».

IV 58, 1 «μαθὼν τὰ γινόμενα διὰ γραμμάτων ὁ Ταρκύνιος παρῆν ἄγων τὴν δύναμιν, καὶ περὶ μέσον νυκτὸς ἀγχοῦ τῆς πόλεως γενόμενος ἀνοιχθεισῶν τῶν πυλῶν — εἰσελθὼν δίχα πόνου κύριος ἐγεγόνει τῆς πόλεως».

Παραχρῆται ὁ Διονύσιος τῷ ὑπερσυντελικῷ *ἐγεγόνει* ἀντὶ τοῦ ἀορίστου *ἐγένετο* καὶ ἄλλοθι, οἷον V 38, 3 «μετὰ τοῦτο τὸ ἔργον οἱ μὲν ἐπίκουροι διασκεδασθέντες ἀπῄεσαν οὐδὲν τοὺς ἔνδον ὠφελήσαντες· ἡ δὲ πόλις ἐν ταῖς αὐταῖς πάλιν ἐγεγόνει συμφοραῖς» καὶ VIII 67, 7, 81, 1. 86, 8 ἐν ἄλλοις τε πλείοσι χωρίοις.

IV 60, 3 «ἔπειθ᾽ ὑμῖν ἐρεῖ· Τουτὶ μέν ἐστιν ὁ Ταρπήιος λόφος, μέρος δ᾽ αὐτοῦ τουτὶ μὲν τὸ πρὸς τὰς ἀνατολὰς βλέπον, τουτὶ δὲ τὸ πρὸς τὰς δύσεις, βόρειον δ᾽ αὐτοῦ τόδε καὶ τοὐναντίον νότιον».

Ἀτοπώτατα, ἐμοὶ δοκεῖν, καὶ ἀτυχέστατα ὁ Jacoby παρενέβαλε τὸ *νότιον*· οὐ γὰρ δήπουθεν οὐδεὶς ἀνθρώπων τοῦτό γε διδακτέος ὅτι τῷ βορείῳ ἐναντίον ἐστὶ τὸ νότιον· καὶ τοῦτ᾽ ἐπειδὴ ὁ Sintenis ὀλίγου δεῖν ἀληθῶς διώρθωκε «καὶ τοῦτο *νότιον*». Προαιρετέον γάρ, οἶμαι, καὶ *τουτὶ νότιον*. Ἐν οἷς δ᾽ ὀλίγῳ ἀνωτέρω λέγει ὁ Διονύσιος «περιγράψει τῷ *σκΗπωνι* τῆς γῆς μέρος» ἀποδέχομαι τὴν τῆς δευτέρας τοῦ ἐξ Οὐρβίνου ἀντιγράφου χειρὸς γραφὴν *σκίπωνι*, καὶ οὕτω γράψαιμ᾽ ἂν δὶς ἐν τοῖς ἑξῆς.

IV 62, 1 «ὅπερ οὐ πρὸς ὀλίγον καιρόν, ἀλλ᾽ εἰς ἅπαντα τὸν βίον ⟨ὠφέλιμον ἐγένετο καὶ⟩ πολλάκις αὐτὴν (δηλονότι τὴν Ῥώμην) ἔσωσεν ἐκ μεγάλων κακῶν».

Πιθανώτατα μὲν οὕτως ὁ Cobet πεπλήρωκε τὸ χωρίον, ἐπεὶ μέντοι οὐ πάνυ εἰωθότως τὸ *βίος* ἐπὶ πόλεως δοκεῖ κεῖσθαι, ἴσως μεταγραπτέον «ἀλλ᾽ εἰς ἅπαντα τὸν *αἰῶν*᾽ ὠφέλιμον κτλ.»

IV 62, 4 «Μάρκον Ἀτίλιον — ὡς πατροκτόνον εἰς ἀσκὸν ἐνράψας βόειον ἔρριψεν εἰς τὸ πέλαγος».

Περίεργόν τι δήπου καὶ κατὰ τοὺς παλαιοὺς ἐκείνους χρόνους χαλεπὸν ἔργον. Ὅρα δὲ μὴ ὁ συγγραφεὺς ἐβουλήθη «εἰς *τὸν ποταμόν*». Πβλ. Κικέρωνα ἐν τῷ ὑπὲρ Ῥωσκίου τοῦ Ἀμερίνου λόγῳ κεφ. κε΄ περὶ τῆς τῶν πατροκτόνων παρὰ τοῖς ἀρχαίοις Ῥωμαίοις ζημίας γράφοντα ὅτι «Insui voluerunt in culleum vivos atque ita *in flumen* deici».

VI 66, 3 «ἀποκτενῶ σε καὶ τῶν θεραπόντων ἐπικατασφάξας ἕνα θήσω τὰ σώματα ἡμῶν ἅμα καὶ φήσω κατειληφὼς ἀσχημονοῦσάν σε μετὰ τοῦ δούλου κτέ.»

Φανερῶς ὁ νοῦς τοῦ χωρίου ἀντὶ τοῦ *ἅμα* ἀπαιτεῖ *ὁμοῦ*, τοῦτ᾽ ἔστιν *ἐν ταὐτῷ*.

IV 67, 2 «ὁ μὲν πατὴρ περιχυθεὶς τῷ σώματι περιέβαλλε καὶ ἀνεκαλεῖνο καὶ ὡς ἀνοίσουσαν ἐκ τοῦ τραύματος ἐτημελεῖτο κτέ.»

Οὐκ ἀνεκτὸν τὸ μέσον γένος τούτου τοῦ ῥήματος, ὃ διεφθάρθαι δοκεῖ διὰ τὸ προηγούμενον ἀνεκαλεῖΤΟ. Ἀναμφιλέκτως γὰρ ὁ Διονύσιος ἔγραψεν *ἐτημέλει*. Ἰδὲ καὶ τὸν Dindorf ἐν τῷ τοῦ Στεφάνου Θησαυρῷ.

IV 75, 4 «σκοπεῖσθαι μέντοι φημὶ χρῆναι τοὺς ἄνδρας ἅπαντα μετὰ τοῦ συνεδρίου [τῆς βουλῆς], ὥσπερ οἱ βασιλεῖς ἐποίουν».

Οὐδεπώποτ᾽ εἶδον προφανέστερον τούτου γλώσσημα.

IV 76, 2 «τοῦτο μεθερμηνευόμενον εἰς τὴν Ἑλλάδα γλῶτταν τοὔνομα (τὸ κώνσουλες) συμβούλους ἢ προβούλους δύναται δηλοῦν».

Ὕποπτόν μοι καὶ τοῦτο τὸ *δηλοῦν*, ἐπειδήπερ αὐτῷ τῷ *δύνασθαι* Ἕλληνες χρῶνται ἐπὶ τοῦ *δηλοῦν ἢ σημαίνειν*. Αὐτίκα αὐτὸς ὁ Διονύσιος οὕτω τῷ ῥήματι χρῆται IX 9, 8.

IV 81, 4 «ποδαποὺς χρὴ νομίζειν ἔσεσθαι τοὺς ἐξ ἐκείνου φύντας κτέ.»

ποταποὺς μὲν οὖν, τοῦτ᾽ ἔστι *ποίους*.

IV 84, 2 «ὥσπερ ἐξ ἑνὸς στόματος ἅπαντες τὴν αὐτὴν φωνὴν ἀνέκραγον».

Οὕτως VI 10, 1 «ὥσπερ ἐκ μιᾶς ψυχῆς ἅπαντες ἀνεβόησαν» καὶ VI 47, 1 «ὡς ἐξ ἑνὸς παρακελεύσματος ἁρπάσαντες τὰ ὅπλα». Ἐνίοτε μέντοι ἐν τοῖς τοιούτοις παραλείπεται τὸ ὁμοιωματικὸν μόριον, οἷον ἐν τοῖς Ἀριστοφάνους Ἱππεῦσιν στίχ. 670 «οἱ δ' ἐξ ἑνὸς στόματος ἅπαντες ἀνέκραγον», καὶ ἑτέρωθι δ' ἄλλα τοιαῦτα εὑρίσκεται.

V 3, 2, στιχ. 6 τυπογραφικὸν σφάλμα ἐστὶ τὸ *τῆς* ἀντὶ τοῦ *τὰς*, ὡς σελ. 3, 21 *μίξιν* ἀντὶ τοῦ *μῖξιν*, 126, στ. 12 *μῦσος* ἀντὶ τοῦ *μύσος*, 125, 5 *Καλλατῖνος* ἀ. τ. *Κολλατῖνος*, 188, 6 *πράσις* ἀ. τ. *πρᾶσις*, 192, 7 *ληιζομένους*, 203, 26 *ὕβρις* ἀ. τ. *ὕβριν* 222 *ἀναγκάζοντες* ἀ. τ. *ἀναγκάζοντος*, 316, 10 *κἂν* ἀ. τ. *κἀν*, 322, 4 ἐν τῷ σχολίῳ *ὅτε* ἀ. τ. *ὅ, τι* καὶ *ἀφέλησθέ του* ἀ. τ *ἀφέλεσθέ μου*, 354, 18 ἐν τῷ σχολίῳ *ἐκβάλουσιν* ἀ. τ. *ἐκβαλοῦσιν* c Bücheler, 355, 1 πρὶν [ἢ] βλαβῆναι ἀ. τ. πρὶν ⟨ἢ⟩ βλαβῆναι, καὶ ἄλλα τοιαῦτα, ἃ οὐκ ἂν ῥᾳδίως λανθάνοι οὐδένα. Ὀχληρότερα δ' ἐστὶ τὰ ἐσφαλμένα VI 62, 1 «ἀνὴρ σώφρων [ὃς] ἐκ τῶν ἑαυτοῦ τρόπων τεκμαίρεται χρηστὰ ὑπὲρ ἑτέρων», ὅπου ὁ Jacoby δύο παρείληφε διορθώσεις ἑαυταῖς ἐναντιωτάτας· μετὰ γὰρ τοῦ Kaiser περιγράψας τὸ *ὃς* μετὰ τοῦ Kiessling μεταγέγραφε *τεκμαίρεται* ἀντὶ τοῦ *τεκμαιρόμενος*, δέον γε τούτοιν θάτερον ἑλέσθαι. Ἐπανέλθωμεν δὲ πρὸς αὐτὸν τὸν Διονύσιον.

V 6, 1 «ἐπεὶ συμφορώτερα μὲν ὁ Βροῦτος ἐδόκει λέγειν, δικαιότερα δ' ὁ Κολλατῖνος παρῄνει.

Δέδοικα μὴ τὸ τελευταῖον ῥῆμα προσέθηκέ τις ἐξηγητὴς ἐκ τοῦ ε' κεφαλαίου § δ' «Κολλατῖνος δὲ τἀναντία *παρῄνει* λέγων». Εἰ γὰρ ἐκ περιουσίας τι προσθεῖναι ἐβούλετο ὁ συγγραφεύς, μᾶλλον ἄν, οἶμαι, ἔγραψε *παραινεῖν* (δηλονότι *ἐδόκει*).

Βοηθεῖ τὰ ἑπόμενα τούτοις τάδε «αἱ φρᾶτραι *τριάκοντα* οὖσαι τὸν ἀριθμόν» τῷ διεφθαρμένῳ ἀριθμῷ ἐν τοῖς ἄνω (IV 13, 1) λελεγμένοις τοῖσδε «ταῖς φράτραις, ἦσαν δὲ *πεντήκοντά που* μάλιστα τὸν ἀριθμόν», εἰς ὃ χωρίον οὐδὲν ἐσημειώσατο ὁ Jacoby.

V 10, 6 «ὅς μ' ὀλίγαις μὲν ἡμέραις πρότερον τὰ χρήματα τοῖς τυράννοις ὑμᾶς ἔπεισεν ἀποδοῦναι».

Ἀλλὰ γὰρ ὁ Κολλατῖνος τοῦτ' οὐκ ἔπεισε τοὺς βουλευτάς, ἀλλ' *ἔπειθεν*, τοῦτ' ἔστι *πεῖσαι ἐπειράθη*· ἐνίκησε γὰρ ἡ τοῦ Βρούτου γνώμη. Ἰδὲ κεφ. 5, 4 καὶ 6, 1. Τοῦτ' οὖν θᾶττον μεταγραπτέον.

V 13, 1 «τὰς τῶν ἐχθρῶν ἑταιρίας».

Ἡ προτέρα χεὶρ τοῦ Οὐρβινίου ἀντιγράφου γέγραφε *ἑτερείας*, τοῦτ' ἔστιν *ἑταιρείας*, τὴν μόνον ἀληθῆ λέξιν, καίπερ σπανιώτατα ἐν τοῖς τοῦ Διονυσίου ἀντιγράφοις εὑρισκομένην. Ὡς δ' αὕτως ὕποπτά μοι τό τε *ἀπήλαυσα* καὶ τὸ *παρηνόμησα* καὶ τὸ *ἐλασθῆναι* (μετὰ τῶν συνθέτων) σιγματιζόμενον· καίτοι καλῶς οἶδ' ὅτι βοηθεῖν δοκεῖ ταῖς τοιαύταις γραφαῖς ἡ τῶν κρατίστων ἀντιγράφων παράδοσις. Οὐδὲ μᾶλλον εἰς αὐτὸν τὸν συγγραφέα ἀναφέρω τὴν ἡμαρτημένην γραφὴν *Μιτυληναῖοι* ἀντὶ τοῦ *Μυτιληναῖοι* V 73, 3 καὶ IX 18, 1.

XV 13, 2 «συνεπλήρωσαν ἐξ αὐτῶν τὴν βουλὴν τοὺς τριακοσίους».

Ἀττικώτατα τοῦτο λέλεκται, οὐδὲ συμφέρομαι τῷ Kiessling εἰκάζοντι *τῆς βουλῆς*.

V 13, 3 «τὸν ἐν τούτῳ γενόμενον τῷ πεδίῳ σῖτον τὸν μὲν ἐπὶ ταῖς καλάμαις, τὸν δ' ἐπὶ ταῖς ἔτι ἅλωσιν κείμενον — οὐκ ἐπέτρεψαν οὐδενὶ φέρειν, ἀλλ' ὡς ἐξάγιστόν τε καὶ οὐδαμῶς (οὕτω μετὰ τοῦ Reiske γραπτέον ἀντὶ τοῦ οὐχ ὡς) ἐπιτήδειον εἰς οἰκίας εἰσενεχθῆναι, εἰς τὸν ποταμὸν καταβαλεῖν ἐψηφίσαντο».

Οὕτως ὁ Jacoby ἀτοπωτάτῳ χρησάμενος ὑπερβατῷ ἀντὶ τοῦ «ἐπὶ τοῖς *ἅλωσιν ἔτι* κείμενον», ὡς καλῶς κεῖται ἐν τοῖς φαυλοτέροις, ὥς γ' ἔοικεν, ἀντιγράφοις. Περὶ δὲ τῆς λοιπῆς τοῦ χωρίου τούτου διορθώσεως οὐκ ἔχω ὅ,τι λέξω.

V 27, 3 «δέον αὐτοῖς ὥσπερ μυστηρίου [ἀπορρήτου] φυλακῆς».

Πᾶν, ἐγῷμαι, μυστήριον ἀπόρρητόν ἐστι, διὸ οὐκ αὐτοῦ τοῦ συγγραφέως εἶναι δοκεῖ προσθήκη τοῦτο τὸ ῥῆμα.

V 28, 3 «παίει τὸν ἄνδρα κατὰ τῆς κεφαλῆς· ἀποθανόντος δὲ [τοῦ γραμματέως] πληγῇ μιᾷ συλληφθεὶς εὐθὺς ὑπὸ τῶν περὶ τὸ βῆμα πρὸς τὸν βασιλέα πεπυσμένον ἤδη τὴν τοῦ γραμματέως ἀναίρεσιν ἀπάγεται».

Εἰς ἐξηγητοῦ του περιεργίαν ἀναφέρω τὸ περιγεγραμμένον μοι *τοῦ γραμματέως*.

V 29, 1 «συννοίᾳ — προσώπου». Πβλ. Εὐριπίδην ἐν Ἡρακλείδαις στιχ. 328.

V 32, 4 «Ταρκύνιος δ' — στέργειν τὰ παρόντα ἠναγκάζοντο καὶ τὰ δεδομένα δέχεσθαι».

Οὕτως ἐκ τῆς τοῦ Reiske εἰκασίας ἀντὶ τοῦ *διδόμενα* τοῦ ἐν τῷ Οὐρβινίῳ κειμένου ἐκδέδωκεν ὁ Jacoby. Μὴ μέντοι αἱρετωτέρα ᾖ ἡ τοῦ Χισιανοῦ γραφὴ *δεδογμένα*, δηλονότι τοῖς τε Ῥωμαίοις καὶ τῷ Πορσίνᾳ. Οὐδὲν γὰρ ὡς ἀληθῶς ἐδέδοτο τοῖς Ταρκυνίοις, ἀλλ' ἐδέδοκτο τὸν Πορσίναν δικαστὴν γενέσθαι περὶ τῶν βασιλικῶν χρημάτων Ταρκυνίοις τε καὶ Ῥωμαίοις. Ἰδὲ τὰ προειρημένα § 2.

V 40, 2 «μηδ' ἀκόντων κατέχειν τῶν πολιτῶν τὴν ἀρχήν, ἀλλ' — ἑκόντα καταθέσθαι».

Ἄλλοθι μὲν ὁ συγγραφεὺς περὶ ἀρχῆς καὶ ὅπλων καὶ τῶν τοιούτων χρῆσθαι εἴωθε τῷ *ἀποθέσθαι*, ἴσως δ' ἐνταῦθα διὰ τὸ πλησίον *ἀπολαβεῖν* ἐκεῖνο γράψαι προείλετο.

V 42, 1 «πολλὴν μωρίαν τῶν Ῥωμαίων καταγνόντες ὡς ἀφεικότων ἐρήμους τὰς φυλακὰς καὶ ἐντὸς [τοῦ] χάρακος καθευδόντων κτέ.»

Οὐ δήπου αὐτὸ μὲν καθ' αὐτὸ μωρὸν ἦν καθεύδειν ἐντὸς χάρακος, ποιεῖν δὲ τοῦτο ἀφυλάκτους· διὸ διαγραπτέον τὸ *καί*, εἴτ' ἐξεπίτηδες ὑπὸ τῶν γραφέων προσγέγραπται, εἴτ' οὖν γέγονεν ἐκ τῆς τελευταίας

συλλαβῆς τοῦ *φυλαΚΑC*. Τοὐναντίον πότερον εὖ ἢ κακῶς ὁ Jacoby νενόθευκε τὸ ἄρθρον οὐκ ἔχω εἰπεῖν.

V 43, 2 «οὐχ ἑάλω τῇ πάντας ἀνθρώπους καταδουλουμένῃ καὶ ἀσχημονεῖν ἀναγκαζούσῃ φιλοχρηματίᾳ».

Τίς ποτ' ἂν καταγνοίη τοσαύτην τοῦ Διονυσίου μισανθρωπίαν, ὥστε νομίσαι αὐτὸν οἷόν τε γενέσθαι τοιαύτην τινὰ γνώμην ἀποφαίνεσθαι περὶ τῆς φυλαργυρίας τῆς τῶν ἀνθρώπων; Ἀναμφίλεκτον ἐμοίγε δοκεῖ εἶναι, ὅτι οὐ *πάντας* ἔγραψεν ἀλλὰ *πολλοὺς* ἢ *πλείστους* ἢ ἕτερόν τι τοιοῦτον· οὐδὲ γὰρ ἂν ἀπαρκεῖν μοι δοκεῖ, ἣν τάχ' ἄν τις ποιήσαιτο εἰκασίαν, ἐκπεσεῖν τὸ *σχεδὸν* ἢ *μικροῦ* ἢ *ὀλίγου* (δεῖν) ἢ ἄλλο τι τῶν ὁμοίων.

V 50, 3 «δεησόμενος αὐτῶν τοὺς ἐνόχους τοῖς ἀδικήμασιν ἐξευρούσας ἐκδοῦναι σφίσι τιμωρίας ὑφέξοντας κατὰ τὸν νόμον, ὃν ἐν ταῖς συνθήκαις ὥρισαν, ὅτε συνετίθεντο τὴν φιλίαν καὶ τὸ λοιπὸν ἀξιώσων φυλάττειν ⟨αὐτόν⟩, ἵνα μηδὲν ἁμάρτημα γίνηται κοινὸν κτέ.»

Οὐ ῥᾳδίως τις ἡγήσεται οὐκ ἀναγκαίαν ἣν ἐπενέθηκα τούτοις ἀντωνυμίαν.

V 54, 5 «καὶ πόλεμον ἐπάγουσιν ἁπάντων [πολέμων] βαρύτατον ἐνέκλινεν».

Οὐκ ὀρθῶς, ἐμοί γε δοκεῖν, ὁ Jacoby τῷ Kiessling πιθόμενος περιέγραψε τὸ *πολέμων*, ἣν γενικὴν ἐκ περιουσίας μὲν ἄριστα δὲ προστίθεσθαι ἀποδείκνυσιν αὐτίκα λέγων ἐν τῷ Πλούτῳ στ. 445 ὁ Ἀριστοφάνης·

Καὶ μὴν λέγω δεινότατον ἔργον παρὰ πολὺ
ἔργων ἁπάντων ἐργασόμεθ' κτέ.

Καὶ ἄλλοθι δὲ ὁ Διονύσιος, ὃς κατὰ τοῦτο ὡς καθ' ἕτερά τινα μιμεῖσθαι δοκεῖ τὸν Ἡρόδοτον, παρ' ᾧ πλεῖστα εὑρίσκεται τὰ τοιαῦτα, ὁμοίως γράφει, οἷον ἐν τετάρτῃ I, 2 «*γυναικὶ* συνῆν Ὀκρισίᾳ καλλίστῃ τε καὶ σωφρονεστάτῃ τῶν ἐν Κορνικόλῳ *γυναικῶν*» καὶ 64, 4 «ταύτην τὴν *γυναῖκα* καλλίστην οὖσαν τῶν ἐν Ῥώμῃ *γυναικῶν*». Καὶ ταῦτα μὲν ὀλίγ' ὄντα ἐκ πλείστων ἀπαρκείτω παραδείγματα.

V 62, 1 «Ταῦτα προκαλουμένων τῶν πρεσβευτῶν οὐκ ἀξιοῦσα δίκην ὑποσχεῖν Ἀρικηνοῖς ἡ βουλὴ περὶ ὧν οἱ κατηγοροῦντες ἔμελλον γενέσθαι κριταὶ καὶ οὐδὲ μέχρι τούτων κριτὰς ἔσεσθαι ὑπολαμβάνουσα τοὺς ἐχθρούς, ἀλλὰ προσθήσειν ἔτι βαρύτερα τούτων ἐπιτάγματα, δέχεσθαι τὸν πόλεμον ἐψηφίσαντο».

Ἀντὶ τοῦ *κριτὰς ἔσεσθαι*, ὃ παγγέλοιον ὂν ᾔσθετο πρῶτος ὁ Cobet, ἀπαιτούσης τῆς τοῦ λόγου διανοίας, εἰκάσαιμ' ἂν «*προβάντας στήσεσθαι*».

V 65, 2 «⟨ἐὰν⟩ τῇ φιλανθρωπίᾳ ταύτῃ συμμάχους ἀντὶ πολεμίων τοὺς πένητας κατασκευάζωνται τῇ πόλει γενέσθαι».

Ἑλληνικώτερον φαίνεται τὸ *παρασκευάζωνται*.

V 67, 5 «ὀλίγους τινὰς εἶναι λέγων παντάπασι τοὺς μηδὲν (μηθὲν καὶ οὐθὲν γράφειν εἴωθεν ὁ Διονύσιος) ὑπολειπομένους ἑαυτοῖς ἔξω τοῦ σώματος».

Ἐπιστροφῆς ἀξία ἡ λέξις κειμένη ἀντὶ τοῦ *μηδὲν ὑπόλοιπον ἔχοντας*.

VI 3, 1 «χωρίον ἐχυρὸν Κορβιῶνα καλούμενον, ἐν ᾧ φρουρά τις ἦν ἐνοικουροῦσα ὀλίγη».

Σφόδρα ὕποπτός μοι ἡ γραφὴ αὐτηί, ἀνθ' ἧς ἄσμενος ἂν μεταγράψαιμι *ἐμφρουροῦσα*, ᾧ ῥήματι ἀπὸ Θουκυδίδου χρῶνται ἅπαντες.

VI 10, 3 «τὸ τῶν ἀντιπολεμίων δέος».

Μόνον ὀρθῶς ἔχειν δοκεῖ τὸ *ἀντιπολέμων*, τοῦτ' ἔστι *πολεμίων*, ὃ διατετήρηκε μὲν τἀντίγραφα IX 3, 2, ὑπὸ δὲ τοῦ τε Reiske καὶ τοῦ Jacoby ἀπεικότως εἰς *ἀντιπολεμίων* μεταπέπτωκεν. Ἰδὲ καὶ τὸν Dindorf ἐν τῷ Στεφάνου Θησαυρῷ I, 974-5.

VI 17, 4 «οἱ δ' (οἱ θεοὶ δηλονότι) ὑπακούσαντες τήν τε γῆν παρεσκεύασαν ἀνεῖναι πλουσίους καρποὺς κτέ.»

Πᾶσα ἀνάγκη διορθῶσαι *ἐπακούσαντες*. Ἐπακούουσι γάρ, οὐχὶ

ὑπακούουσιν, οἱ θεοὶ τῶν τε εὐχῶν καὶ τῶν εὐχομένων, ὑπακούουσι δὲ οἱ καλούμενοι ἢ οἱ προσταττόμενοί τι ποιεῖν.

VI 18, 3 «οὐδὲν ἔσεσθαι τὸ κωλῦον ἅπαντας ἀνθρώπους ὑπ' ἀλλήλων ἀπολωλέναι».

Γραπτέον *κωλῦσον*, τοῦτ' ἔστιν, *ὅτι κωλύσει*. Πδλ. IX 9, 7. 14. 3 ἄλλα τε πολλὰ χωρία.

VI 20, 2 «καὶ οὐδέποτε παύσονται τῆς ἐπιβούλου προαιρέσεως ἑκόντες, ἕως αὐτῶν τοῦτ' ἐν ταῖς ψυχαῖς τὸ δύστηνον ἐνοικεῖ πάθος».

Ἀμφιγνοῶ πότερον μεταγράψω *ἐνοικήσει* ἢ *ἐνοικῇ*· φιλεῖ γὰρ ὁ Διονύσιος τὸ ψιλὸν *ἕως* συντάττειν τῷ ὑποτακτικῷ ἀντὶ τοῦ *ἕως ἄν*. Ἄλλα τινὰ συντακτικὰ σφάλματα παρατετήρηκα ἐν τοῖς κατὰ τὴν ε΄ τούτου τοῦ κεφαλαίου παράγραφον ὧδε γεγραμμένοις· «ταῦτ' εἰπὼν καὶ τὰς ἀποστάσεις τῶν Λατίνων ἁπάσας ἐξαριθμησάμενος τῶν τ' ἀπολομένων ἐν τοῖς πρὸς αὐτοὺς πολέμους Ῥωμαίων τὸ πλῆθος ὅσον ἦν ἀναμνήσας, *ἠξίου* τὸν αὐτὸν τρόπον *χρήσεσθαι* ⟨καὶ τούτοις⟩, ὃν ἐχρήσαντο Ἀλβανοῖς πρότερον· τὰς μὲν οὖν πόλεις αὐτῶν *ἀνελεῖν* καὶ τὴν χώραν αὐτῶν τῇ Ῥωμαίων *προσθεῖναι*, τῶν δ' ἀνθρώπων τοὺς μὲν εὔνοιάν τινα πρὸς αὐτοὺς ἀποδειξαμένους ἔχοντας τὰ σφέτερα πολίτας *ποιήσεσθαι*, τοὺς δ' αἰτίους τῆς ἀποστάσεως, ὑφ' ὧν αἱ σπονδαὶ διελύθησαν, ὡς προδότας *ἀποκτεῖναι*· ὅσον δὲ τοῦ δήμου πτωχὸν καὶ ἀργὸν καὶ ἄχρηστον ἐν ἀνδραπόδων *ποιήσεσθαι* λόγῳ». Καὶ γὰρ τυφλῷ δῆλον ὅτι πᾶσαι αὗται αἱ ἀπαρέμφατοι ταὐτῷ τρόπῳ ἤρτηνται ἐκ τοῦ *ἠξίου*, ἀπαιτεῖ θ' ὁ νοῦς τῆς περιόδου ἀορίστους, παραιτούμενος τοὺς μέλλοντας, ὥστε μεταγραπτέον εἶναι· *χρήσασθαι* – *ποιήσασθαι* – *ποιήσασθαι*». Ὡς δ' αὕτως κεφ. 23, 3 «ἠξίου τὴν ἀρχὴν *ἰάσεσθαι* τῆς στάσεως» κακῶς ἐκ μόνου τοῦ Οὐρβινίου ἀντὶ τοῦ *ἰάσασθαι* παραδέδεκται.

VI 22, 3 ἀπαρκεῖν δοκεῖ μόνη ἡ τοῦ *κακὸν* ἀντὶ τοῦ *καλὸν* μεταγραφή, ὥστε στίξαι τε καὶ ἀναγνῶναι ὧδε· «τοῦθ' ὁρῶν ὁ Ποστόμιος, ἕως ἔτι τὸ τιμώμενον εἶχε παρὰ πάντων, ὅμοιον πολέμῳ βαρεῖ κακὸν ὑπεκδῦναι τοὺς πολιτικοὺς χειμῶνας ἔγνω».

VI 23, 1 «οἳ τὸ μὲν ἀνωτάτω συμφέρον εἶδον ὀρθῶς ὅτι δεῖ περισπᾶν τὸν ἐντὸς τείχους θόρυβον ἐπὶ τοὺς ἔξω πολέμους».

Ἀμφισβητήσιμός μοι δοκεῖ ἡ ὑγίεια τοῦ *ἀνωτάτω*, ὅ τί ποτε βούλεται οὐ συνίημι· οὐδὲ πάνυ μοι ἀρέσκει τὸ ἐνταῦθα κείμενον μόριον ΜΕΝ. Οὐ μὴν ἀλλ' οὐχ εὑρίσκω πῶς χρὴ ἰᾶσθαι τὸ χωρίον.

VI 26, 2 «κραυγῆς δὲ καὶ οἰμωγῆς ἐκ τῶν παρόντων γινομένης ἥ τε βουλὴ διελύθη κτέ.»

Γραπτέον *γενομένης*. Μετ' ὀλίγα δ' ἐν τοῖς ὑπὸ τοῦ Jacoby ὧδε πεπληρωμένοις «ἔκ τε τῶν οἰκιῶν — ⟨ἐξώρμων⟩ κομῶντες» μᾶλλον ἐμέ γε προσίεται τὸ τοῦ Reiske συμπλήρωμα *ἐξεπήδων*, ὡς VII 26, 4 γέγραπται «*ἐξεπήδων* ἅπαντες ἐκ τῶν οἰκιῶν».

VI 33, 2 «ὁ δὲ Ποστόμιος παρακελευσάμενος τοῖς ἀμφ' αὐτὸν ἀπὸ τῶν ἵππων καταβῆναι καὶ ποιήσας στῖφος ἀνδρῶν ἑξακοσίων, ἐν οἷς μάλιστα ἔκαμνε τοῖς Ῥωμαίοις κατὰ πρανοῦς ὠθουμένοις χωρίου ἡ φάλαγξ, ἐν τούτοις συνάπτει τοῖς πολεμίοις καὶ αὐτίκα συνίστησιν αὐτῶν τὰς τάξεις, ὡς δ' ἅπαξ ἀνεκόπησαν οἱ βάρβαροι, θάρσος ἐνέπεσε τοῖς Ῥωμαίοις κτέ.»

Εἰ μὲν τὸ «καὶ αὐτίκα — τὰς τάξεις» λέγεται περὶ τῶν Ῥωμαίων, ἀντὶ τοῦ *αὐτῶν* ἡ σαφήνεια ἀπαιτεῖ *ἐκείνων* ἢ *τῶν ἑαυτοῦ*, εἰ δὲ περὶ τῶν πολεμίων, οὐ καλῶς ἔχει τὸ *συνίστησιν*, μεταγραπτέον δὲ ἤτοι *ἵστησιν* (sistit) ἢ *διίστησιν*. Διὰ μέντοι τὸ ἕπεσθαι τὸ *οἱ βάρβαροι* ἀληθεστέρα μοι φαίνεται ἡ προτέρα ὑπόληψις.

VI 36, 1 «ὥσπερ τὰ θηρία τὸ ἀντίπαλον ἐξολέσαι μετὰ τοῦ σφετέρου κακοῦ βουληθέντες, ἢ τὸ ἑαυτοῖς ἀσφαλὲς φυλάττοντες μετὰ τοῦ διαφόρου κοινῇ σεσῶσθαι».

Γελοίως ὑποστίζεται ἐπὶ τῷ *βουληθέντες*, ἐπεὶ τὸ Η ἐνταῦθα ἰσοδυναμεῖ τῷ *μᾶλλον ἤ*.

VI 40, 1 «⟨προ⟩ελθὼν ἐπὶ τὸ βῆμα ἔλεξεν».

Καίπερ εὖ εἰδὼς ὅτι οὐ σπανίως ἐν τοῖς Διονυσίου ἀντιγράφοις κεῖ-

ται τὸ *προελθεῖν*, ὅπου τὸ κοινὸν Ἕλλησιν ἔθος ἀπαιτεῖ τὸ *παρελθεῖν*, ὅμως περὶ ἐκείνης τῆς χρήσεως τῆς ὀρθότητος διστάζων ἥδιον ἂν γράψαιμι *⟨παρ⟩ελθὼν*, ὡς Διονύσιος καὶ ἄλλοθι λέγει καὶ VIII 70, 1.

VI 42, 2 «πλήθει γὰρ ὑπεραίρειν πολὺ νομίσαντες τῶν προτέρων κακῶν ἀναμνησθέντες, ἀγωνισταὶ ταχίους ἢ φρονιμώτεροι ἀναγκασθέντες γενέσθαι, [θᾶττον] πρῶτοι ὥρμησαν ἐπὶ τοὺς Ῥωμαίους».

Τὸ μὲν *θᾶττον* οὐκ εἶναι μοι δοκεῖ τοῦ Διονυσίου, ἀντί τε τοῦ *πρῶτοι* γραπτέον εἶναι *πρότεροι* μετὰ τοῦ Sintenis, πλὴν δὲ τούτων οὐδὲν ἡμαρτῆσθαι. Ἐκεῖνος γὰρ ἐκβάλλων τε τὸ *ἀναγκασθέντες* καὶ μεταγράφων *γενόμενοι* οὐ συνῆκε τὸν νοῦν ὄντα τόνδε «ἠνάγκασεν ἡ τῶν προτέρων κακῶν ἀνάμνησις τοὺς Οὐολούσκους ταχίους ἢ φρονιμωτέρους γενέσθαι ἀγωνιστάς». Διὰ δὲ δὴ τοῦτο ὑποστικτέον ἂν εἴη ἐπὶ τῷ *νομίσαντες*.

Ἀλλὰ βεβαίως διορθῶσαι ἐγὼ μὲν οὐ δύναμαι, οὐδ᾽ εὖ διώρθωται ὑπὸ τοῦ Jacoby, τὰ ἑπόμενα ἐν τῇ γ᾽ παραγράφῳ τάδε· «ὁμοίως δὲ καὶ τὸ Σαβίνων φρόνημα ἐν ὀλίγῳ πάνυ ἐταπεινώθη χρόνῳ μιᾷ παρατάξει ἐξ *ἀμφοτέρων βουληθέντων*, ἔπειτα ἥ τε χώρα προυνομεύθη, καὶ πολίχναι τινὲς ἑάλωσαν, ἐξ ὧν πολλὰ καὶ σώματα καὶ χρήματα οἱ στρατιῶται ἔλαβον». Ὅντινα γὰρ δή ποτε νοῦν ἔχει τὸ προστεθὲν ὑπ᾽ ἐκείνου ἐπὶ τῷ «βουληθέντων» *ἐπικρατεῖν* οὐδαμῶς μανθάνω, φανερῶς δὲ τὸ *ἀμφοτέρων* σημαίνει τούς τε Σαβίνους καὶ τοὺς Οὐολούσκους, ὡς καὶ ὁ Sintenis καὶ ὁ Meutzner ὑπελάμβανον. Συνιείην μὲν οὖν ἂν ἔγωγε τὸ χωρίον ὧδέ πως γεγραμμένον· «ὁμοίως δὲ καὶ τὸ Σαβίνων φρόνημα ἐν ὀλίγῳ πάνυ ἐταπεινώθη χρόνῳ μιᾷ παρατάξει. *ἀμφοτέρων δ᾽ οὖν νικηθέντων* ἔπειτα ἥ τε χώρα προυνομεύθη κτέ.» (πβλ. 43, 1), ἐν μέντοι τῇ τοιαύτῃ γραφῇ παρέλκειν πως δοκεῖ τὸ *ἔπειτα*. Λαβέτω δὲ δὴ καὶ ἄλλος.

VI 45, 1 «ἀλλ᾽ ἀναφανδὸν ἤδη συνιόντες ἐβούλευον ἀπόστασιν ἐκ τῶν πατρικίων».

Ἤτοι ἀθετητέον τὴν *ἐκ* ἢ μεταβλητέον εἰς *ἀπό*.

VI 46, 1 «Ὡς δ' ἠγγέλθη τοῦτο τοῖς ἐν τῇ πόλει, πολὺς θόρυβος καὶ οἰμωγὴ ἦν καὶ διὰ τῶν στενωπῶν δρόμος, τοῦ μὲν δήμου καταλιπεῖν τὴν πόλιν παρασκευαζομένου, τῶν δὲ πατρικίων ἀποτρέπειν ἀξιούντων καὶ βίου τοῖς μὴ βουλομένοις προσφέρειν».

Μετὰ τὸ *βουλομένοις* ἐκπεσεῖν δοκεῖ ἀπαρέμφατός τις, οἷα ἡ *μένειν* ἢ *πείθεσθαι*, ὧν ἡ προτέρα παρεμφερὴς οὖσα ταῖς τελευταίαις τῆς μετοχῆς συλλαβαῖς τῆς ἑτέρας πολὺ ῥᾷον ἀπολέσθαι ἐδύνατο. Ἐν δὲ τοῖς ἑπομένοις τοῖσδε «βοή τε περὶ τὰς πύλας καὶ πολὺς ἀνακλαυθμὸς ἦν λόγοι τε κατ' ἀλλήλων ἐχθροὶ καὶ ἔργα πολεμίων ἐγίνοντο οὐκέτι διακρίνοντος οὐδενὸς οὔτε ἡλικίαν οὔτε ἑταιρείαν οὔτε ἀξίωσιν *ἀρετῆς*» ἵνα μὴ τάχα τις νόθον εἶναι νομίζῃ τὸ τελευταῖον ὄνομα, συγκρινάτω μοι VII 50, 3 «οὔτ' εὐγενείας φειδόμενος οὔτ' *ἀρετῆς* οὔθ' ἡλικίας».

Μόλις δ' ὑγιᾶ εἶναι δοκεῖ τὰ μετ' ὀλίγα ὧδε παραδεδομένα «μετὰ τοῦτο βουλαί τε συχναὶ καὶ κατηγορίαι τῶν αἰτίων τῆς ἀποστάσεως ἐγίνοντο», ἐπειδὴ οὐ περὶ βουλῶν ἀλλὰ περὶ διαβολῶν ἔοικεν εἶναι ὁ λόγος· διόπερ ἄσμενος ἂν εἰκάσαιμι «⟨*δια*⟩*βολαί* τε συχναὶ κτέ.» ὥσπερ αὐτίκα κεφ. 48, 3 γέγραπται «δυσφημιῶν δὲ καὶ κατηγοριῶν».

VI 47, 3 ἀναπληρωτέον εἶναι νομίζω «μετρίως δὲ χρησαμένους ⟨αὐτοῖς⟩ ἀρχηγοὺς τῶν συμφερόντων βουλευμάτων γενέσθαι καὶ προτέρους ἐκείνων ἐπὶ τὰς διαλλαγὰς χωρεῖν ἐνθυμουμένους». Πάνυ γὰρ προσδεῖ τῆς μετοχῆς, ἵν' εἰδῶμεν ὅτι τοιαῦτ' ἐνεθυμοῦντο οἱ κρείττους, μετρίως χρώμενοι *τοῖς κακίοσιν*, τοῖς μικρῷ ἀνωτέρω ὠνομασμένοις. Τὰ δὲ τελευταῖα τούτου τοῦ κεφαλαίου ῥήματα φανερῶς ὧδε διορθωτέον «τέλος δ' ἦν τῶν ταῦτα παραινούντων, πρέσβεις ἀποστέλλειν τοὺς διαλεξομένους τοῖς ἀφεστηκόσι περὶ φιλίας, *ἕως* (ἀ. τ. *ὡς*) οὐδὲν αὐτοῖς ἡμάρτηται ἀνήκεστον».

VI 48, 3 «καὶ οὔτε ἡ βουλὴ πόρον εὑρεῖν οἵα τε ἦν οὔτ' ἀναβολάς, δυσφημιῶν δὲ καὶ κατηγοριῶν, ἃς οἱ προεστηκότες αὐτῆς ἐποιοῦντο κατ' ἀλλήλων, ἐπὶ πολλὰς ἡμέρας διελύετο· οὔτε τὸ δημοτικὸν πλῆθος — ὅμοιον ἦν κτλ.»

Ἐπεὶ ἐμφανῶς οὐχὶ τὸ πρῶτον καὶ τὸ δεύτερον, ἀλλὰ τὸ πρῶτον

καὶ τὸ τρίτον *οὔτε* ἀλλήλοις συνῆπται, γραπτέον «καὶ οὔτε ἡ βουλὴ πόρον εὑρεῖν οἵα τε ἦν *οὐδ'* ἀναβολάς, κτέ.» Ὅμοιόν τι σφάλμα ἔστι παρατηρῆσαι ἐν τῷ 62, 2 «φοβείτω δ' ὑμῶν μηδένα (*μηθένα* μὲν οὖν) μήτε ὁ τῶν ἀποστατῶν ἀνασεισμὸς μήτε ὁ τῶν ἀλλοφύλων πόλεμος· *μήτε* καταγινώσκετε τῆς οἰκείας δυνάμεως», ὅπου ἡ σύνταξις ὡσαύτως ἀπαιτεῖ τὸ *μηδέ*.

VI 50, 2 παραληφθῆναι ὤφειλεν ἡ ἀληθεστάτη τοῦ Sintenis διόρθωσις, «δοκεῖ οὐδὲ τὸ Λατίνων συγγενὲς ἔτι βεβαίως (ἀ. τ. βέβαιον) ἡμῖν διαμένειν φίλιον εἰς πύστιν ἐλθόν» καθάπερ 51, 3 καλῶς γέγραπται «διαμενοῦντα βεβαίως φίλα» Οὐκ ὀλίγα δὲ τοιαῦτα ὁ Jacoby ἐν τοῖς σχολίοις μᾶλλον ἢ ἐν τῷ ἐδάφει τιθέναι ἠξίωσεν, καίπερ ἔστιν ὅτε σφόδρα παρακεκινδυνευμένα εἰς τοῦτο παραδέχεσθαι τολμήσας.

VI 56, 1 «πρὸς δὲ ταῦτα τί παραινῶ νῦν πράττειν, ἀκούσατέ μου».

Ἐνταῦθα τοῦ λόγου τεταγμένον τὸ *νῦν* ὅτι μόλις ἐστὶν ἀνασχετόν, φανερὸν γίγνεται ἐκ τῶν ἔμπροσθεν. Εἰ μὲν οὖν γνήσιον, παραλέλειπται δὲ τῇ α' χειρὶ τοῦ Οὐρβινίου· μεταθετέον ἴσως ἐπὶ τῷ *πράττειν*, ὥστ' εἶναι «*νῦν* ἀκούσατέ μου». Πολὺ δὲ μᾶλλον διέφθαρται τὰ ὑπὸ τοῦ Jacoby ἐν τῇ ε' παραγράφῳ ὧδε διεσκευασμένα «τοὺς δ' ἀποσταλησομένους ἄνδρας αὐτοκράτορας εἶναι παραινῶ, διαλυσομένους αὐτοῖς τὴν στάσιν, ἐφ' οἷς ἂν αὐτοὶ δικαιῶσι, καὶ μηδὲν (*μηθὲν* μὲν οὖν) ἔτι τῇ βουλῇ προσαναφέροντας· *αὐτοὶ γὰρ εἴσονται τοῦτο*, οἱ ⟨δὲ⟩ νῦν ὑπεροπτικοὶ δοκοῦντες εἶναι καὶ βαρεῖς μαθόντες, ὅτι ἀληθῶς σπουδάζετε περὶ τὴν ὁμόνοιαν, καὶ εἰς ἐπιεικεστέρας συγκαθήσουσιν αἱρέσεις, οὐδὲν ἀξιοῦντες οὔτε τῶν αἰσχρῶν οὔτε τῶν ἀδυνάτων». Παρεμβεβλημένου δὲ τοῦ *δὲ* ἔτι μᾶλλον ἐπιτέτριπται ἐμοὶ δοκεῖν τὸ χωρίον, ἐν ᾧ νοσοῦν ἰδὼν ὁ Reiske τὸ *αὐτοὶ γὰρ εἴσονται τοῦτο*, εὐστόχως, ὡς εἰώθειν, ᾔκασεν «αὐτοὶ γὰρ πείσονται τούτοις»· ἀλλ' ἐπεὶ οὐδὲ τὸ *αὐτοί* μοι ἀρέσκει, προελοίμην ἂν ἔγωγε τὸ τοιόνδε «*οὕτω γὰρ πείσονται τούτοις* οἱ νῦν ὑπεροπτικοὶ δοκοῦντες εἶναι κτέ.»

VI 57, 1 «ὅπως κατάξουσι τὸν δῆμον [εἰς τὴν πατρίδα]»

Περιέγραψα τὸ γλώσσημα, πολλῷ γὰρ οἰκειότερον τοιοῦτό τι ἐξήγημα γραμματικοῖς ἢ αὐτῷ τῷ συγγραφεῖ, ὅστις καλῶς ᾔδειν, ὅτι εἰς οὐδεμίαν ἄλλην χώραν κατάγειν τίς τινα δύναται. Ταὐτὸν ἔμβλημα καὶ ἀλλαχοῦ ἔστιν εὑρεῖν καὶ ἐν τῷ Λυσίου κατ' Ἐρατοσθένους λόγῳ § 47, ὅθεν πάλαι ποτὲ ἐξεῖλον.

Μικρὸν δὲ προελθὼν ἀναγνοίην ἂν «ἀποροῦντες ὅ τι χρήσωνται» ἀντὶ τοῦ *χρήσονται*, τὸ γὰρ *ἀπορεῖν* ὡς τὸ *οὐκ ἔχειν* ἀπαιτεῖ τὴν ὑποτακτικήν.

VI 61, 3 «καὶ τοῦτ' οὐ μετὰ χαρίτων αὐτῷ πείθοντι συγχωρήσετε ὑπό τ' ἀνάγκης κρατηθέντες κτέ.»

Κρεῖττον φαίνεται τὸ *ὑπὸ δ' ἀνάγκης*.

VI 66, 1 «Ἡμεῖς, ὦ βουλή, μάλιστα μὲν ἠξιοῦμεν ἅπαντες ὑμᾶς ὁμογνωμονεῖν, ἄλλως τε καὶ ταῦτα περὶ κοινῆς σωτηρίας βουλευομένους· εἰ δὲ μή, τοῖς πρεσβυτέροις ὑμῖν εἴκειν τοὺς νεωτέρους κτέ».

Προελοίμην ἄν, *εἰ δὲ μή γε*, ὡς ἄλλοθι γράφειν εἴωθεν ὁ Διονύσιος.

VI 74, 6 Διορθωτέον «τὰ δὲ τελευταῖα ⟨τὸ⟩ τρίτον κάθοδον τῶν βασιλέων παρασκευασαμένων», ὅπου γὰρ Λατῖνοι λέγουσι *primum*, *secundum*, *tertium* κτλ. Ἕλληνες τοῖς ἀριθμητικοῖς προστιθέασι τὸ ἄρθρον.

VI 75, 2 «ὑμῖν γὰρ ἐπειδὴ τὸ [ἀσφαλὲς] τῆς ἐλευθερίας ἔδοξεν εἶναι βέβαιον οὐκ ἀπέχρησεν ἐπὶ τούτου μένειν».

Πρόδηλον ὂν γλώσσημα τὸ *ἀσφαλὲς* ἆραι οὐκ ὤκνησα.

VI 76, 1 «Ἐῶ τἄλλα, ὅσα οὔπω διαστασιάζοντες πρὸς ὑμᾶς καὶ αὐτοὶ μέν γε μεταποιούμενοι τῶν ἐκ τῆς ἀρχῆς ἐλπίδων συνεκινδυνεύσαμεν ὑμῖν»

Οὕτως ὁ Jacoby ἀντὶ τοῦ *μέντοι*, οὐ κακῶς, εἰ μὴ ἄρ' ἀπαρκεῖ ἡ ἠπιωτέρα διόρθωσις *μέν τι*.

VI 77, 2 «ὥστε κατέχειν ἡμᾶς ἔτι ἠξιοῦτε ἄκοντας ὑπὸ ταῖς σημαίαις [ἐν τοῖς ὅπλοις]».

Τὰ παρέλκοντα ταυτὶ ῥήματα ὄζει ἐξηγητοῦ.

VI 79, 2 «οἷς τελευτῶντες ἠναγκαζόμεθα τοὺς ἑαυτῶν κλήρους οἱ δείλαιοι γεωργεῖν, σκάπτοντες φυτεύοντες ἀροῦντες [ποίμνια] νέμοντες ὁμόδουλοι».

Οὐ γνήσιον δοκεῖ τὸ *ποίμνια*, εἰ μὴ ἄρα πολλάκις δι᾽ ἑνὸς ῥήματος γραπτέον ἐστὶ *ποιμαίνοντες*. Πβλ. VII 9, 2 περὶ τὸ τέλος.

VI 80, 3 ἀναγνωστέον «ἡμεῖς δὲ τὸν ἄπολιν καὶ [τὸν] ἀνέστιον ἐκλιπόντες (οὕτω B 6 ἀντὶ τοῦ *ἐκλείποντες*) βίον — στέλλομεν ἀποικίαν κτέ.»

VI 85, 2 «καὶ ἐπιτηδεύματα νόμιμα τήν τε ἄλλην ἀρετήν, ἣν πολλάκις ἀπεδείξασθε καὶ ἐν εἰρήνῃ καὶ κατὰ πολέμους».

Ἔθος μὲν Ἕλλησι λέγειν «ἀποδείκνυσθαι ἔργα», ἀλλ᾽ «ἐπιδείκνυσθαι ἀρετήν» καὶ τὰ τοιαῦτα, ἐνταῦθα δ᾽ ἴσως καλῶς ἔχει τὸ *ἀπεδείξασθε*, ὥστε βραχυλογίαν ὑπάρχειν ἀντὶ τοῦ «*ἧς ἔργα* πολλάκις ἀπεδείξασθε». Πβλ. VII 45, 5 «τοσαύτας δ᾽ *ἀρετὰς ἀποδεδειγμένοι* καὶ πολεμικὰς καὶ πολιτικάς, ἃς οὐδ᾽ ἐν πολλῷ πάνυ χρόνῳ διελθεῖν ῥᾴδιον, κτέ.»

VI 88, 2 «καὶ γὰρ εἰ τὴν ἐξουσίαν παρ᾽ αὐτῆς (δηλονότι παρὰ τῆς βουλῆς) ἔχομεν, ὅπως ἂν βουλώμεθα, ποιήσασθαι τὰς διαλλαγὰς αὐτοκράτορες ὄντες τῶν ὑποσχέσεων, αὐτοί γέ τοι λαβεῖν τοῦτ᾽ οὐ δικαιοῦμεν, ἀλλ᾽ ἐπειδὴ παρὰ δόξαν ἡμῖν ἀπήντηται πρᾶγμα καινόν, ἀφελόμενοι τὴν ἰδίαν ἐξουσίαν τῷ συνεδρίῳ φέροντες ἀναθήσομεν».

Γραπτέον εἶναι δοκεῖ «λαβεῖν *ταύτην* οὐ δικαιοῦμεν» δηλονότι *τὴν ἐξουσίαν*.

VI 93, 1 «καὶ δεηθεὶς τοῦ ὑπάτου κατὰ τὸ καρτερώτατον τῶν πολεμίων εἵλετο».

Τοῦτο μὲν παρέχεται ἡ δευτέρα τοῦ Οὐρβινίου χείρ, ἡ δὲ προτέρα

ἔλιπε, τὸ δὲ Χισιανὸν ἀντίγραφον *ἔλιπτει*. Οὐδὲν τούτων γνήσιον εἶναι φαίνεται. Προσδοκᾶται μὲν τὸ *τάττεται*, ὅ τι δ' ὁ Διονύσιος ἔγραψεν αὐτὸς οὐχ εὑρὼν ἐν κοινῷ ἐῶ σκοπεῖν.

VII 11. Τούτου τοῦ κεφαλαίου τὰ τελευταῖα ῥήματα τάδε «καὶ τὴν πάτριον καθίστανται πολιτείαν» ἴσως οὐκ ἔστιν ἀναμάρτητα· προσδοκᾶται γὰρ μᾶλλον τὸ *ἀποκαθίστανται*. Πβλ. VII 21, 3.

VII 12, 2 ἐπεντεθέντος τοῦ ἄρθρου ἀναγνωστέον «ἀποδράντες ᾤχοντο· ⟨τοὺς⟩ θεράποντας δ' αὐτῶν καὶ τὰ ὑποζύγια καὶ τὰ—χρήματα ὁ τύραννος κατέσχε».

VII 16, 5 «μετριωτέραν αὐτῶν ἀποδώσετε τὴν ὑπερηφανίαν».

Ἔστιν ὅτε παρὰ τῷ Διονυσίῳ τὸ *ἀποδιδόναι*, ὥσπερ Λατινιστὶ τὸ reddere, κεῖται ἐπὶ τοῦ *ποιεῖν* ἢ *ἀποδεικνύναι* ἢ *καθιστάναι*. Οὕτως αὐτίκα IV 29, 6 «γυνή—, ἥ σε κηλοῦσα καὶ κατᾴδουσα μαλθακὸν *ἀποδέδωκε*».

VII 22, 3 «ὅταν γὰρ—ἄγωσι—, καὶ μηθεὶς—ᾖ—, τί προσῆκεν ὄνομα θέσθαι τῇ δυναστείᾳ ταύτῃ;»

Ἡ σύνταξις φανερῶς ἀπαιτεῖ τὸν ἐνεστῶτα χρόνον, *προσήκει*. Ταὐτὸν ἡμάρτηται VI 28, 3, κακῶς δὲ ὁ Jacoby τὴν τῶν ἀντιγράφων λέξιν *προσήκει* μετέβαλεν VIII 23, 2. Τοὐναντίον ὀρθῶς ἔχει ὁ παρατατικὸς VIII 25, 1 καὶ 4, 29, 2. 32, 3 καὶ 5 καὶ ἄλλοθι πολλαχοῦ, καλῶς δ' αὖ ὁ ἐνεστὼς ἐν πᾶσι πλὴν τοῦ A IX 9, 9.

VII 23, 2 «οὐ γὰρ ἐπὶ τῷ κακῶς δρᾶσαι τὴν βουλήν, ἀλλ' ἐπὶ τῷ μὴ ὑπ' ἐκείνης κακοῦσθαι τὴν τῶν δημάρχων ἐξουσίαν ᾐτήσατο».

Τὸ ἐξ ἐναντίου κείμενον *κακοῦσθαι* ἀπαιτεῖν δοκεῖ τὴν γραφὴν *δρᾶν* ἀντὶ τοῦ *δρᾶσαι*· ἄνευ γὰρ εὐλόγου αἰτίας ὁ χρόνος ἐνήλλακται, οὐδ' ὑπερασπίζει τῆς ἐναλλαγῆς χωρία, οἷόν ἐστι VIII 72, 4 «ἀπορῶν ὅ τι χρὴ πράττειν ὁ Κάσσιος καὶ οὔτ' *ἀναθέσθαι* τὴν γνώμην προαιρούμενος οὔτε *μένειν*— δυνάμενος», ὅπου ἐναργής ἐστιν ἡ τῶν χρόνων διαφορά.

VII 30, 2 «καταλῦσαι δὲ τὴν ἀρχὴν τῶν ὑπάτων ἢ ⟨τὴν⟩ βουλὴν ἄκυρον ποιῆσαι τῆς ὑπὲρ τῶν κοινῶν προστασίας καὶ τὴν τάξιν ἀνατρέψαι τῆς πατρίου πολιτείας οὔτ' ᾐτήσασθε οὔτε μέλλετε· τί οὖν παθόντες ἐπιχειρεῖτε πάντα συγχεῖν ταῦτα νυνί;».

Ἐπειδήπερ φανερά ἐστιν ἐνταῦθ' ἀντίθεσις τῶν προγεγενημένων τοῖς γιγνομένοις, κἂν δι' εἰκασίας ἐχρῆν μεταγράψαι *οὔτ' ἐμέλλετε*, ὅπερ ἐν τοῖν βελτίστοιν ἀντιγράφοιν παραδέδοται.

VII 49, 3 «οὐκ ἠγάπησε ταύτης τυχὼν τῆς χάριτος ἧς μόνης μεμνημένος ἔφη πεποιῆσθαι τὴν ἀπόστασιν».

Ἀναμφισβήτητος μὲν ἡ τῆς μετοχῆς διαφθορά, ἐπισφαλὴς δ' ἡ διόρθωσις. Οὐ γὰρ κακῶς ὁ Garrer ᾔκασε *δεόμενος*, ἀλλ' οὐχ ἧττον εἰκότως ἔχει τὸ ἐμοὶ ἐπελθὸν *ἐφιέμενος*.

VII 62, «οὐκ εἶχον δ' ὅ,τι [ἂν] ἄλλο ποιῶσι διὰ τὸ μηδεμίαν εὑρίσκειν ἀφορμὴν κτέ.»

Σόλοικον ὂν τὸ *ἂν* περιέγραψα. Πбλ. αὐτίκα VIII 43, 2 «οὐκ ἔχουσα, ὅ τι πάθῃ πρὸς τοὺς ὀδυρμοὺς αὐτῶν — εἶξεν ἡ Οὐετουρία».

VII 71, 1 «παλαιότατος γὰρ ἀνήρ».

Οὕτως V 18, 3 «οἱ *παλαιότατοι* τῶν συγγραφέων», τὸ δὲ *παλαίτερον* ἀεὶ ἄνευ τοῦ φωνήεντος γράφει ὁ Διονύσιος.

VII 70. Τὰ τελευταῖα τούτου τοῦ κεφαλαίου ῥήματα εἴπερ ἦσαν βάρβαροι, περιττεύοντα μετὰ τὸ «εἰ δὴ βάρβαρον αὐτῶν τὸ γένος ἦν» μόλις γνήσια φαίνεται.

VII 73, 3 «τοῖς ἡνιόχοις, οὓς οἱ ποιηταὶ μὲν παραβάτας, Ἀθηναῖοι δὲ καλοῦσιν ἀποβάτας κτέ.»

Ἀλλὰ γὰρ οὐχὶ παραβάτας, ἀλλὰ *παραιβάτας* τοὺς ἡνιόχους ἐκάλουν οἱ ποιηταί, διὸ τοῦτ' ἀποδοτέον τῷ Διονυσίῳ.

VIII 19, 3 «καὶ ταὐτὰ διαθεὶς ὅσα τὰς πρότερον ἁλούσας».

Τῷ *ταὐτὰ* εὐπρεπέστερον ἂν ἀκολουθοίη τὸ *ἃ* ἢ *ἅπερ*· εἴπερ οὖν ὀρθῶς ἔχει τὸ *ὅσα*, εἴη ἂν βραχυλογία ἀντὶ τοῦ *ταὐτὰ ἃ καὶ τοσαῦτα ὅσα*.

VIII 24, 1 «καὶ παρέσχομέν σοι μηθέν, ὃ μὴ δίκαιον ἦν τότε παθεῖν».

Οὕτως ἐστιγμένου τοῦ χωρίου, τὸ *παθεῖν* παρὰ τὸν νοῦν τοῦ συγγραφέως ἤρτηται ἐκ τοῦ *δίκαιον*· διὸ ἢ ἀρτέον τὴν ὑποστιγμήν, ἢ ἐπαναληπτέον ἐπὶ τῷ *ἦν*.

VIII 24, 6 «τοὺς δὲ δὴ τάφους τῶν προγόνων τί παθὼν [ὑπ' αὐτῶν] ἀνασκάπτεις καὶ τιμάς, ἃς κομίζονται παρ' ἀνθρώπων, ἀφαιρῇ;»

Οὐ γράψαι δεῖ «⟨τὰς⟩ τιμάς»;

VIII 25, 2 «οὔτε συναναιρεῖν τοῖς ἐχθροῖς τὰ φίλια οὔτε χαλεπὸν ὀργὴν εἶναι».

Ἐπεὶ τὸ μὲν *φίλιος* τῷ *πολέμιος*, τὸ δὲ *φίλος* τῷ *ἐχθρὸς* ἀντίκειται, ἐνταῦθά τε *φίλα* γράφεσθαι ἀξιῶ καὶ VIII 78, 5 «τά τε *φίλα* διαβάλλων καὶ τὰ ἐχθρὰ συνιστάς».

VIII 25, 5 «ἕως ἀντιΠΑΡεστρατοπέδευκας ἡμῖν καὶ τὰ πολεμίων ἔργα δρᾷς».

Πρῶτος μὲν καὶ μόνος, ὡς ἔοικεν, ὁ Διονύσιος ἐνταῦθα κέχρηται τῷ συνθέτῳ τούτῳ ῥήματι, χρώμενος ἄλλοθι πανταχοῦ μετὰ τῶν ἄλλων ἁπάντων τῷ ἀντιΚΑΤΑστρατοπεδεύειν, ἐπεὶ δὲ πάνυ εἰωθότως Ἑλληνιστὶ λέγεται *παραστρατοπεδεύειν*, οὐδὲν καινοτομητέον εἶναι νομίζω.

VIII 26. Ἐν τοῖς τελευταίοις τοῦδε τοῦ κεφαλαίου ῥήμασιν «εἶχον ἔτι πλείω λέγειν ὑπὲρ τοῦ ἀδυνάτου ἀλλὰ καὶ ταῦθ' ἱκανά» οὐκ ὀρθῶς ὁ Hertlein ἐπιποθεῖ τὸ *ἄν*, ὃ κάλλιστ' ἐν τοῖς τοιούτοις παραλείπεται, ὡς καὶ ἄλλοθι καὶ κεφ. 35, 1, ἵνα κεῖται «*εἶχον* μέν, ὦ Μηνύκιε, λέγειν ὅτι οὐκ ἐγὼ τούτου κύριος οὐδὲ πρὸς ἐμὲ ὁ περὶ τούτων ἐστὶ λόγος, ἀλλ' ἐγὼ στρατηγός εἰμι κτέ.» Ἐ-

παινῶ μὲν οὖν τὸν Jacoby, ὅτι ὠλιγώρησε ταύτης τῆς εἰκασίας, οὐκ ἔχω δ' ὅπως ἐπαινέσω ὅτι κεφ. 30, 1 οὐκ εἰσεδέξατο εἰς τὸ ἔδαφος τὴν ἀληθεστάτην τοῦ Kiessling διόρθωσιν τήνδε· «Καὶ ταυτὶ μὲν ἴσως ἂν ἔχοι τις καὶ ἕτερος ὑπὲρ αὐτοῦ γενναῖος ἀνήρ, εἰ *καὶ μὴ* (ά. τ. *μὴ καὶ*) τοσαῦτα, λέγειν».

VIII 32, 1. 2 ὑπό τι σκοτεινὸν τὸ ψιλὸν *βούλεσθε* ἐν τοῖσδε «Ἆρ' οὐ φανερὸν ὅτι καλλιλογεῖτε καὶ εἰρωνεύεσθε, ὦ Μηνύκιε, ὄνομα καλὸν ἔργῳ περιθέντες ἀνοσίῳ; οὐ γὰρ δὴ κάθοδόν μοι δίδοτε, ἀλλὰ σφάγιόν με τῷ δήμῳ κατάγετε, τάχα μὲν καὶ βεβουλευμένοι τοῦτο πράττειν· οὐθὲν γὰρ ἔτι μοι χρηστὸν ὑπὲρ ὑμῶν ἐπέρχεται φρονεῖν· εἰ δὲ βούλεσθε — τίθημι γάρ — οὐδὲν ὧν πείσομαι προορώμενοι, τί οὖν ἔσται μοι τῆς ὑμετέρας ἀγνοίας ἢ μωρίας ὄφελος — ;» Ἐκπεσεῖν τι δοκεῖ μεταξὺ τοῦ *εἰ δὲ* καὶ τοῦ *βούλεσθε*, οἷον «εἰ δὲ ⟨ἀδόλως τοῦτο⟩ βούλεσθε» ἢ «εἰ δὲ ⟨καλῶς [ἢ *μὴ κακῶς*] μοι⟩ βούλεσθε», ὡς III 21, 6 κεῖται «φιλοῦντος τὴν πατρίδα καὶ τοὺς *κακῶς αὐτῇ βουλομένους* κολάζοντος». Ἄλλα δὲ τοιαῦτα δύναιτ' ἄν τις ἐπινοῆσαι, ὥστ' ἐπισφαλεστάτην εἶναι τὴν συμπλήρωσιν.

VIII 34, 3 «ἐγὼ μὲν δὴ ταῦτα πράττοντα ἐμαυτὸν τά τε δίκαια ἡγοῦμαι πράττειν καὶ τὰ συμφέροντα καὶ τὰ κακὰ καὶ ἅμα [ταῦτα] καὶ τὰ πρὸς τοὺς θεοὺς εὐσεβέστατα».

Ἡ *ταῦτα* ἀντωνυμία, ἣ ὕστερον μὲν ἐν πᾶσι, πρότερον δ' ἐν μόνῳ τῷ Οὐρβινίῳ ἀντιγράφῳ κειμένη, ἐκ τοῦ δευτέρου τόπου ἀπαλλαχθήτω· σφόδρα γὰρ ἐκεῖ ἐμποδίζει τὴν διάνοιαν.

VIII 41, 4 «ἡμεῖς μὲν αἱ δυστυχεῖς ἃς τὸ πάθος ἀπήτει φωνὰς ἀναβοῶσαι κτέ.»

Ἀνωφελής γε ἡ τοῦ Grasberger εἰκασία *ἀπῆγγε* καὶ ἅμα ἀδύνατος. Καλῶς δ' ἔχει τὸ παραδεδομένον· ὁμοίως γὰρ VII 69, 2 κεῖται «ἐβόα τε φωνὰς δυσφήμους, ἃς ἡ ἀλγηδὼν *ἐβούλετο*».

VIII 43, 2 «ἔπειθ' ἥ τε Οὐαλερία πάλιν ἑτέρας ἐξέτεινε μακρὰς καὶ συμπαθεῖς δεήσεις, αἵ τ' ἄλλαι γυναῖκες αἱ κατὰ

φιλίαν ἢ συγγένειαν ἑκατέρα τῶν γυναικῶν προσήκουσαι [καὶ] παρέμενον λιπαροῦσαι τε καὶ γονάτων ἁπτόμεναι κτέ.»
Παρεμβέβληται ὑπὸ τῶν γραφέων ὁ σύνδεσμος, οὗ ἐξαιρεθέντος εὖ καὶ κατὰ τρόπον ὁ λόγος προχωρεῖ.

VIII 44, 1 «οἱ δ' ὕπατοι ζεύγη τε ὀρικὰ κτέ.»
Παντάπασιν ἀδύνατον ῥῆμα τὸ *ὀρικὸς* ἀντὶ τοῦ *ὀρεικός*, ἐπεὶ πλάττεται ἀπὸ τῆς ῥίζης ΟΡΕ. Οὐ σπανιώτερον δὲ τοὐναντίον τῶν γραφέων σφάλμα ὡς ἐπὶ τὸ πλῆθος γραφόντων καὶ παρὰ Διονυσίῳ *βοεικὸς* ἀντὶ τοῦ *βοϊκός*, ὃ καλῶς μὲν παραδέδοται καὶ ἄλλοθι καὶ 87, 5 κακῶς δὲ π. χ. IX 15, 5. Ἁμαρτήματα μὲν οὖν οὕτω περιφανῆ ἐν τῇ καινῇ ἐκδόσει μηκέτι εὑρεθῆναι ὤφειλεν.

VIII 44, 4 «ταῦτα δὲ Ῥωμαίοις ἐστὶ ποιεῖν ἔθος, ὅταν ὑπαντῶσι ταῖς μείζοσιν ἀρχαῖς οἱ τὰς ἐλάττους [ἀρχὰς] ἔχοντες».
Ὑποπτεύω τὸ παρὰ τὸ Ἑλλήνων ἔθος ἐπανειλημμένον ὄνομα.

VIII 45, 2 ἀναγνωστέον «μετὰ ταῦτα τῶν παιδίων ἑκάτερον προσαγ⟨αγ⟩όμενος καὶ τοὺς προσήκοντας ἀσπασμοὺς ἀποδούς, ἐπέστρεψεν αὖθις πρὸς τὴν μητέρα

VIII 50, 1 «ἀλλὰ καὶ πόρρω ἀνδραποδισμοῦ τῆς πόλεως αὐτῶν καὶ κατασκαφῆς τὴν ἀγριαίνουσαν καὶ μαινομένην ὀργὴν προάγεις».
Σοφῶς, ὦ Jacoby, ὅ τι λέγεις δ' οὐ μανθάνω. Σαφέστερον γοῦν ὁ Reiske, ὁ πάντων τῶν κατ' αὐτὸν εὐστοχώτατος, τὸ παραδεδομένον ἐν τοῖς ἀναγράφοις ΠΕΡΙ μεταβέβληκεν εἰς *μέχρι*, ὃ κάλλιστ' ἔχει, γεγραμμένον δὲ μετὰ τοῦ σίγμα, ἐπεὶ Διονύσιος πρὸ τῶν φωνηέντων *μέχρις* γράφειν εἴωθεν.

VIII 50, 3 «ἐγὼ μὲν οὐκ ἔχω, πῶς ἐπαινέσω ταῦτα τὰ σκληρὰ καὶ ὑπέραυχα καὶ τὴν θνητὴν φύσιν ἐκβεβηκότα δικαιώματα, ὁρῶσα καταφυγὰς εὑρημένας ἅπασιν ἀνθρώποις καὶ παραιτήσεις ὧν ἂν ἐξαμαρτάνωσιν περὶ ἀλλήλους ἱκετηρίας καὶ λιτὰς κτέ».

Μεταθετέον ἂν εἴη «ὁρῶσα καταφυγὰς εὑρημένας ἅπασιν ἀνθρώποις *παραιτήσεις*, ὧν ἂν ἐξαμαρτάνωσιν περὶ ἀλλήλους, *καὶ* ἱκετηρίας καὶ λιτάς», ἢ «— ὧν — ἀλλήλους *παραιτήσεις καὶ* ἱκετηρίας καὶ λιτάς».

VIII 56, 3 «Ὁσίῳ πόλεως νόμῳ γυναῖκες γαμεταὶ δεδώκατέ με».

Οὐκ ἀπεικότως ὁ Cobet ἤκασεν *ἱερώκατέ με*, εἰ μὴ ἄρα διὰ τὴν χασμῳδίαν προαιρετέον *καθιερώκατε* ἢ *καθιδρύκατέ με*.

VIII 57, 3 «εἰ δὲ διαμαρτὼν τῆς πείρας ἀτελὴς τοῦ ἔργου ἀναστρέψειεν».

Ἴσως οὐ γνήσιον τὸ «τοῦ ἔργου»· αὐτὸ γὰρ καθ' αὑτὸ τὸ *ἀτελὴς* σημαίνει *ἄπρακτος*, λέγει δὲ Ὅμηρος «ἀτελευτήτῳ ἐπὶ ἔργῳ».

VIII 58, 2 «καὶ τοσούτου δεήσει τιμωρίαν [προδοτῶν] ὑποσχεῖν».

Ὕποπτόν μοι τὸ ὄνομα, ἀνθ' οὗ ὁ Sylburg οὐκ ἀλόγως γε ἀπῄτει τὸ ἑνικὸν *προδότου*.

VIII 61, 2 «οὐ γὰρ μόνον (ἡ δικαιοσύνη) ἐλλείπουσα τοῦ μετρίου πέφυκεν, ἀλλὰ καὶ ὑπερβάλλουσα αὐτοῖς τ' οὐ λυσιτελής, ἀλλ' ἔστιν ὅτ' αἰτία μεγάλων συμφορῶν, καὶ εἰς θανάτους οἰκτροὺς, καὶ λύμας ἀνηκέστους καταστρέφουσα».

Εὐμαθέστερα ταῦτ' ἔσται ὧδε γεγραμμένα τε καὶ ἐστιγμένα «οὐ γὰρ μόνον ἐλλείπουσα τοῦ μετρίου, ἀλλὰ καὶ ὑπερβάλλουσα *πέφυκεν αὐτοῖς τ⟨οῖς ἔχουσιν⟩* οὐ λυσιτελής, ἀλλ' ἔστιν ὅτε αἰτία μεγάλων συμφορῶν καὶ εἰς θανάτους οἰκτροὺς καὶ λύμας ἀνηκέστους καταστρέφουσα».

VIII 64 «εἰ δέ τινες ἁρπαγαὶ καὶ καταδρομαὶ τῆς χώρας ἐγένοντο διὰ λῃστηρίων, οὐκ ἀπὸ κοινῆς γνώμης γεγονέναι λέγουσιν, ἀλλ' ἰδιωτῶν ἀδικήματα μετιόντων τὰ ἴδια, καὶ οὐδὲ τοὺς ταῦτα δράσαντας παρέχειν οἷοί τ' εἰσὶν ἐπὶ δίκην ἕτερα καὶ αὐτοὶ τοιαῦτα [πεπονθέναι λέγοντες καὶ] ἀντεγκαλοῦντες, ἄσμενοί τέ [εἰσι] δέχεσθαι τὸν πόλεμον».

Τὰ τῶν ἐξηγητῶν παρεμβλήματα περιέγραψα. Μετ' ὀλίγα δ' αὖθις προσκόπτω τοῖς ὧδε κειμένοις «ἡ βουλὴ — ἐψηφίσατο νείμασθαι τὴν — στρατιὰν τριχῇ· τούτων δὲ τὴν μὲν *μίαν* ἄγοντα Γάϊον Ἀκύλλιον — ὁμόσε τῇ Ἑρνίκων στρατιᾷ χωρεῖν· — τὴν δ' *ἑτέραν* Τῖτον Σίκκιον ἐπὶ Οὐολούσκους ἄγειν — τὴν δὲ λοιπὴν *τρίτην μερίδα* παραλαβόντα Σπόριον Λάρκιον, ὃς ἦν ἀποδεδειγμένος ὑπὸ τῶν ὑπάτων ἔπαρχος (ἐνταῦθ' ὑποστικτέον) τὴν ἔγγιστα — χώραν φυλάττειν». Σφόδρα μὲν ἐπαγωγός ἐστιν ἡ τοῦ Kiessling εἰκασία *τριτημορίδα* (οὐχὶ *τριτημερίδα*, ὡς γράφει ὁ Jacoby), ὃ κεῖται κεφ. 77, 3 ἐν τῷ Χισιανῷ, ὅθεν ἐκεῖ γραπτέον ἀντὶ τοῦ *τρίτης μερίδος*, ὅμως δὲ ἐνταῦθ' οὐκ ἀποδεκτέα εἶναι δοκεῖ. ὅτι τὸ *μίαν* συνάπτεσθαι οὐ δυνάμενον τῷ προηγουμένῳ *στρατιὰν* δεῖται τῆς προσθήκης τοῦ *μερίδα*. Διὰ δὴ ταῦτ' οὐκ ἂν οἶδ' εἰ μᾶλλον διορθωτέον εἴη ὧδε «τούτων δὲ τὴν μὲν μίαν ἄγοντα *μερίδα* Γάϊον Ἀκύλλιον - τὴν *δὲ δευτέραν* Τῖτον Σίκκιον — τὴν δὲ λοιπὴν [τρίτην μερίδα] παραλαβόντα Σπόριον Λάρκιον, κτέ.»

VIII 62, 2 «ἔπειτα ἱππεῖς ἱππεῦσι συρράττουσι κατ' ἴλας ἐλαύνοντες καὶ τὸ πεζὸν τῷ πεζῷ κατὰ σπείρας μαχόμενον».

Μῶν γνήσιά ἐστι τὰ ἄρθρα; Πβλ. IX 11 «καὶ συμπεσόντες ἀλλήλοις ἱππεῖς ἱππεῦσι καὶ πεζοὶ πεζοῖς ἐμάχοντο». Τὰ τελευταῖα τοῦδε τοῦ κεφαλαίου ῥήματα ὧδε στικτέον «τότε μὲν οὖν· ἤδη γὰρ ἦν περὶ δύσιν ἡλίου· χαίροντες — κατεστρατοπέδευσαν».

VIII 67, 1 «ὡς δ' ὤφθησάν τε καὶ εἶδον ἀλλήλας αἱ δυνάμεις».

Βουλοίμην ἂν ἀπεῖναι τὰ περιττὰ ταῦτα «ὤφθησάν τε καί», ὡς ἄπεστιν αὐτίκα IX 62, 4 «ἐπεὶ δ' εἶδον ἀλλήλους». Ἐν ἄλλῳ μέν τινι τοῦ Διονυσίου χωρίῳ (λέγω δὲ IX, 57, 9) κεῖται «ἐπεὶ δ' ὤφθησάν τε καὶ εἶδον *ἐκείνους*»· τοῦτο δὲ κάλλιστα λέλεκται, καὶ τοιαῦτα πολλάκις ἔστιν εὑρεῖν.

VIII 68, 4 «τάξας τινὰ χρόνον ἡμερῶν».

Ἄλλοθι ὁ συγγραφεὺς οὕτω τίθησι τὸ *ἀριθμόν*, ὃ κἀνταῦθα προσεδόκων, ἐπεὶ καλῶς μὲν λέγεται «πολλῶν ἢ ὀλίγων ἡμερῶν χρόνον», μόλις δ' ὀρθῶς «τινὰ χρόνον ἡμερῶν».

VIII 69, 3 «ἦν τ' ἄρα τὸ ἐν πολλοῖς εὐτυχεῖν σφαλερὸν ἀνθρώπῳ χρῆμα καὶ ἀσύμφορον· αὐχήματός τε γὰρ ἀνοήτου κτέ.»

Ἀπαρέσκει μοι ἐνταῦθ' ὁ *τε* σύνδεσμος, καὶ ἡδέως ἂν μεταγράψαιμι «ἦν δ' ἄρα κτέ.»

VIII 72, 2 πρόδηλόν ἐστιν ὅτι ὁ Reiske οὐχ (ᾧ τούτῳ χρησάμενος εἰσηγητῇ πεποίηκεν ὁ Jacoby) ἐπὶ τῷ δευτέρῳ, ἀλλ' ἐπὶ τῷ προτέρῳ *θάτερον* ἐπενενεγκεῖν ἐβούλετο τὸ *μόνον*· ὡς γὰρ ἀναγκαίως ἐκεῖ, οὕτως ἀδιανοήτως ἔχει ἐνταῦθα προσκείμενον. Τοὐναντίον δὲ κακῶς ἐπανείληπται τὸ *ἀκυροῖς*, ὃ εὐλόγως ἠθέτηκεν ὁ Garrer.

VIII 73, 3 «τὴν δ' ὁρισθεῖσαν ὑπ' ἐκείνων γῆν διαιρεθεῖσαν εἰς κλήρους ὅσους δή τινας καὶ στήλαις εὐκόσμοις διαγραφεῖσαν κτέ.»

Γραπτέον *εὐκόσμως*.

VIII 75, 3 «τοὺς δ' ὁριστὰς αὐτῆς ἄνδρας καὶ τὸ ὑμέτερον ψήφισμα — τοὺς εἰσιόντας ὑπάτους — ἐπιτελέσαι».

Τῷ ζεύγματι τούτῳ ἀχθόμενος ὁ Reiske ᾔκασε «τοὺς δ' ὁριστὰς αὐτῆς ⟨δέκα⟩ ἄνδρας ⟨ἀποδεῖξαι⟩». Παραλιπεῖν μέντοι αὐτὸν ἔδει τὸν ἀριθμόν, ἐπειδήπερ ἐν τοῖς ὀλίγῳ ἀνωτέρω γέγραπται «τοῖς αἱρεθησομένοις ἐπὶ τὴν ἐξέτασιν τῆς χώρας καὶ περιορισμόν, εἴτε δέκα ἀνδράσιν *εἴθ' ὁσοισδήποτ'* ἐπετρέψατε διαγνῶναι».

VIII 79 περὶ τέλος «διὰ μὲν δὴ ταῦτα τῷ προτέρῳ συγκατατίθεμαι τῶν λόγων μᾶλλον· ἔθηκα δ' ἀμφοτέρους ἵνα ἐξῇ τοῖς ἀναγνωσομένοις, ὁποτέρῳ βούλονται [τῶν λόγων] προσέχειν».

Περιέγραψα τὸ δεύτερον *τῶν λόγων*.

VIII 86 π. τέλ. «Ῥωμαῖοι δ' ὡς ἐν ἀσφαλείᾳ τέως ὄντες».

Ὤφειλε παραληφθῆναι παρὰ τοῦ Kiessling τὸ *ἐν ἀσφαλεῖ*, ὃ μόνον Ἑλληνικὸν ὂν πολλαχοῦ διέφθαρται. Καλῶς σέσωσται IX 23, 3

«τότε δὴ ἐν [τῷ] ἀσφαλεῖ Ῥωμαῖοι νομίσαντες εἶναι», ὅπου περιγράψαιμ' ἂν τὸ ἄρθρον.

VIII 87, 2 «οὗτοι τὴν ἀρχὴν παραλαβόντες, ὑπὲρ τῶν ἀποθανόντων — ἠξίουν ἑτέρους καταγράφειν».

Ἐνταῦθα ἡ *ὑπὲρ* πρόθεσις ἄντικρυς ἰσοδυναμεῖ τῇ *ἀντί*, ἣν δύναμιν καὶ παρὰ τοῖς παλαιοῖς Ἀττικοῖς ἔστιν ὅτε ἔχει, ὅταν τὴν ἑτέρου χώραν ἐκπληρῶν λέγηταί τις *ὑπὲρ* τούτου *λέγειν* ἢ *ἀποθνήσκειν* ἢ *στρατηγεῖν* ἢ ἄλλο τι ποιεῖν ἢ πάσχειν.

VIII 88, 1 «προσιόντες τοῖς ἐπὶ τῆς στρατολογίας τεταγμένοις τὸν ἱερὸν ὅρκον ὤμνυσαν».

Ἐπεὶ πᾶς ὅρκος ἱερός ἐστιν, οὐχ ὁρῶ δι' ὅ,τι ὁ στρατιωτικὸς ὅρκος κατ' ἐξοχὴν οὕτως ἀκούει. Ἴσως δὲ Διονύσιος ἔγραψε «τὸν *πάτριον* ὅρκον».

VIII 89, 2 ἀξία ἦν εἰσδεχθῆναι εἰς τὸ ἔδαφος ἡ τοῦ Στεφάνου διόρθωσις «τετριμμένων δὲ τῶν ἐγχειριδίων τὰς ἀκμάς» ἀντὶ τοῦ *τετραμμένων*, ὃ παντὸς νοῦ κενὸν ὂν οὐδένα λανθάνει.

IX 9, 9 «μάλιστα δ' ἐκεῖνο μεμνῆσθαι προσῆκεν (-ήκει;) ὅτι μενόντων μὲν ἀνδρῶν καὶ μαχομένων ὀλίγον τὸ ἀπολλύμενόν ἐστιν, ἐγκλινάντων δὲ καὶ φευγόντων κομιδῇ βραχὺ ⟨τὸ⟩ σῳζόμενον».

Προσέθηκα τὸ ἄρθρον.

IX 16, 8 «ταύτην μὲν οὖν τὴν ἡμέραν ἐν τῷ χάρακι τῶν πολεμίων ἔμεινεν ὁ ὕπατος, τῇ δ' ἑξῆς [ἡμέρᾳ] στεφανώσας τοὺς ἀριστεύσαντας κτέ.»

Περιέγραψα τοὔνομα.

IX 27, 2 διορθωτέον «μάλιστα δὲ διαβαλλόμενος ἐπὶ τῷ ⟨τῶν⟩ Φαβίων ὀλέθρῳ» Ἀναγκαῖον γὰρ ἐν τούτοις φαίνεται τὸ ἄρθρον. Ὥς δ' αὔτως IX 38, 4 ἡδέως ἂν γράψαιμι «οἱ — πατρίκιοι — τὸν ἐπιβαλεῖν ⟨χεῖρας⟩ τοῖς ὑπηρέταις τολμήσαντα κατὰ ⟨τοῦ⟩

κρημνοῦ βαλεῖν ἠξίουν»· σημαίνεται γὰρ ὁ τοῦ Καπιτωλίνου κρημνός. Ἰδὲ VI 35, 4 καὶ VIII 78 περὶ τὸ τέλος. Τοὐναντίον κάτω πρὸς τῇ τελευτῇ τοῦ 45 κεφαλαίου ἐν τοῖς ὧδε γεγραμμένοις «ἀλλὰ καὶ λόγοις ἀγωνιοῦμαι περὶ τῆς ἀριστοκρατίας, κἂν εἰς *τὰ* ἔργα δέῃ χωρεῖν, οὐδ' ἐν τούτοις τῶν ἐναντιουμένων λελείψομαι» οὐκ ἀνύποπτόν μοί ἐστι τὸ ἄρθρον, ὃ καλῶς πρόσκειται IV 28, 1 ἐν τῷ «καταβαλόντα τοὺς λόγους ἐπὶ *τὰ* ἔργα χωρεῖν».

IX 29, 2 μεμπτέος ὁ Jacoby ὅτι οὐκ ἠξίωσε παραλαβεῖν τὴν ἀναμφισβήτητον τοῦ Cobet διόρθωσιν *εὐψύχως* ἀντὶ τοῦ *εὐτυχῶς*, οὐδὲ κεφ. 38, 1 γράψαι μετὰ τοῦ Kiessling «ὀμόσας ἦ μὴν *ἐμμενεῖν* καὶ *κατηγορήσειν*» ἀντὶ τοῦ τ' *ἐμμένειν* καὶ τοῦ *κατηγορεῖν*. Μακρὸν δ' ἂν εἴη καταλέγειν ὅσας τῶν κριτικῶν διορθώσεις καλάς τε καὶ βεβαίους ἀνωφελήτους εἶναι εἴασεν.

IX 33. 2 στικτέον «εἰ δὲ πονηρόν, ἀμφοτέρους ζημιοῦν». ὀλίγῳ δὲ κατωτέρω ἴσως οὐ μεμπτὴ ἡ τῆς προτέρας χειρὸς τοῦ Οὐρβινίου γραφὴ ἥδε «ἦν δ' οὐ μόνον ὁ λόγος τοῦ ἀνδρός, ἀλλὰ καὶ ὁ βίος ὁ πείθων» = ὃς ἔπειθεν, ὡς αὐτίκα Ἀριστοφάνης χρῆται τῷ ἄρθρῳ ἐν Εἰρήνῃ στ. 613.

Οὐκέτ' ἦν οὐδεὶς *ὁ παύσων*, ἥδε δ' ἠφανίζετο.

Τοῦτ' ἔστιν «ὅστις παύσοι».

IX 43, 2 «Ἀππίου μὲν γὰρ ἦν γνώμη περισπᾶν περὶ τὰς ἔξω στρατείας τὸν ἀργὸν καὶ πένητα δῆμον»

Ἐν τοῖς παραπλησίοις τούτῳ χωρίοις VI 23 καὶ X 33 ἀντὶ τοῦ *περὶ* πρεπωδέστερον γράφεται *ἐπί*, ἣν πρόθεσιν οὐκ ἀπεικότως ὁ Sylburg κἀνταῦθα τιθέναι ἐκέλευσεν, οὐδέ μ' ἀναπείθει τὸ ὑπὸ τοῦ Dindorf ἐν τῷ Στεφάνου Θησαυρῷ VI, 922 παραβαλλόμενον ἐκ τοῦ ἁγίου Λουκᾶ XIII 40 «ἡ δὲ Μάρθα περιεσπᾶτο *περὶ* πολλὴν διακονίαν», ὅπου ἥδιον ἂν ποιησαίμην τὴν αὐτὴν διόρθωσιν, ἐπειδήπερ πλείστην οὖσαν ἴσμεν τὴν ἐν τοῖς ἀντιγράφοις τῶν προθέσεων τούτων σύγχυσιν.

IX 48, 3 διὰ μέσου κεῖται τὸ «ἦν δὲ καὶ τῆς ἡμέρας τὸ λει-

πόμενον βραχὺ μέρος», διὸ στικτέον ὧδε· «ὠθούμενος· ἣν — μέρος· ὥστ' — διελύθησαν» Τοῦ γὰρ ἀκουσίους διαλυθῆναι τοὺς ἄνδρας οὐκ ἦν οὕτως αἴτιον τὸ ἐπιλαβεῖν τὴν ἑσπέραν ὡς ἡ τοῦ Κοϊντίου λιπάρησις τῶν ἐριζόντων. ἀμαυροῖ δ' ἄρα τὴν διάνοιαν ἡ τελεία στιγμὴ ἡ ἐν τῇδε τῇ ἐκδόσει κειμένη ἐπὶ τῷ *ὠθούμενος*.

IX 51, 2 «ὁ δὲ Οὐαλέριος ἀποθεραπεῦσαι τοῦ δήμου τὴν ὀργὴν βουλόμενος ἣν εἶχε πρὸς αὐτὸν ἐπὶ τῷ Σπορίου Κασσίου θανάτῳ, ὃν ἀπέκτεινεν ὡς ἐπιχειροῦντα βασιλείᾳ ταμίας τότ' ὢν [Οὐαλέριος].

Ἀλόγως μὲν ἐνταῦθ' ἐπανείληπται τὸ κύριον ὄνομα, ἐν δὲ τοῖς ἔπειτα περὶ τοῦ Κασσίου λεγομένοις «ὃς καὶ τὸ περὶ τῆς κληρουχίας πολίτευμα *πρῶτον* (πρῶτος μὲν οὖν) εἰσήγαγεν εἰς τὴν πόλιν, καὶ δι' αὐτὸ μάλιστα ὑπὸ τῶν πατρικίων, ὡς δῆμον *ἀναιρούμενος* πρὸ αὐτῶν, ἐμισήθη» σκεπτέον πότερον ὑγιῶς ἔχει τὸ συγκείμενον ῥῆμα ἢ μᾶλλον, ὡς ἔγωγε νομίζω, γραπτέον ἐστίν, «*αἱρούμενος* πρὸ αὐτῶν» τοῦτ' ἔστι «προαιρούμενος». Καὶ ὕστερον δὲ ἐν τῷ αὐτῷ κεφαλαίῳ 56 οὐκ ἀναμάρτητά μοι φαίνεται τάδε· «ἐπεὶ τοῖς γ' ἀκλήροις καὶ ἐκ τῶν ἀλλοτρίων κτημάτων — γλίσχρως διατρεφομένοις ἢ ἀρχῆθεν μὴ ἐμφύεσθαι ἔρωτα γενεᾶς [τέκνων], ἢ ἐμφύντα πονηρὸν ἐκφέρειν καρπὸν [καὶ] οὐδ' εὐτυχῆ κτέ.» Πρόδηλον γὰρ οἴομαι ὅτι καὶ τὸ *τέκνων* καὶ ὁ σύνδεσμος ἀλλοτρίᾳ χειρὶ παρεμβέβληνται.

VIII 52, 2 ἐναργέστερον, οἶμαι, ὧδε γεγράψεται «διὰ τὸ μηδ' ἐξεῖναι σφίσι κατὰ τὸ προβούλευμα τοὺς γεωμόρους ἀποδεικνύειν, ἀλλὰ ⟨μόνοις⟩ τοῖς πρώτοις ἐκείνοις ὑπάτοις».
Ἐν τῷ πρωτοτύπῳ δῆλον ὅτι ἐγέγραπτο ΑΛΛΑ, τοῦτο δ' οὐκ εἰς τὸ *ἀλλὰ*, ἀλλ' εἰς τὸ *ἀλλ' ά*, τοῦτ' ἔστιν *ἀλλὰ μόνοις*, ἐχρῆν μεταχαρακτηρισθῆναι.

IX 53, 4 διαφέρομαι πάλιν αὖθις τῷ Jacoby ὑγιὲς εἶναι νομίζοντι τὸ *πάθος* ἐν τοῖσδε «ὥσπερ ἐμοῦ μόνον ἀφαιρησόμενος τὴν ἐκ τῆς νίκης δόξαν, ἀλλ' οὐχὶ καὶ τῆς πατρίδος τὸ κατὰ τῶν ἐχθρῶν πάθος». Οὔτε γὰρ ἐκεῖνος διδάσκει οὔτ' ἐγὼ μανθάνω, ὅ τι ποτ' ἐνταῦθα βούλεται τὸ *πάθος*, ἀνθ' οὗ *κράτος* εὐπρεπέστατα μετέγραψεν ὁ Kiessling. Ἐν τοῖς ἑπομένοις δὶς ὑποστικτέον ἐπί τε

τῷ *οὐ πώποτε* καὶ ἐπὶ τῷ *εἰσιν*. Τυπογραφικὸν σφάλμα φαίνεται τὸ *ἀναγκάζοντο* κεφ. 56, 5.

IX 53, 2 «ἵνα ἧττον ἦσαν ἐπίσκηνοι λυπηροὶ τῇ πόλει».

Ἐν μὲν τῷ ἕκτῳ λόγῳ κεφ. 53, 1 Μενήνιος Ἀγρίππας τοὺς ὀθνείους ἀντιτιθεὶς τοῖς δημοτικοῖς ἐπίσκηνον ὄχλον καλεῖ, ἐνταῦθα δ', ὃ θαυμάσειεν ἄν τις, ὁ Ἄππιος Κλαύδιος αὐτὸν τὸν δῆμον οὕτως ὀνομάζει. Ἐπεὶ δὲ πλὴν τοῦ Οὐρβινίου πάντα τἀντίγραφα ἔχει *οἱ ἐπίσκηνοι* ἐπῆλθέ μοι εἰκάσαι «ἵνα ἧττον ἦσαν, ὡς ἐπίσκηνοι, λυπηροὶ τῇ πόλει» τοῦτ' ἔστιν «ἵνα οἱ τὴν ἀπορίαν ὀδυρόμενοι πένητες ἧττον ἦσαν ὀχληροί· νῦν γὰρ ὡς ἐπίσκηνοι (=ὀθνεῖοί τινες καὶ ἀλλότριοι) ἐνοχλοῦσιν ἡμᾶς τοὺς γνησίους πολίτας».

IX 56, 6 «ὥστε μηδ' ἀπελθόντων σφῶν χρηστὸν ἔτι τοῖς Ἀντιάταις εἶναι τὸ φρούριον».

Μιμεῖται ἐνταῦθα, ὡς καὶ ἄλλοθι πολλαχοῦ, ὁ Διονύσιος τὸν Ἡρόδοτον, παρ' ᾧ, καίπερ ἄκοντος τοῦ Κοβήτου, ἐνίοτε τὸ *χρηστὸς* ἀντὶ τοῦ *χρήσιμος* κείμενον εὑρίσκεται. Πβλ. Ἡσύχιον «*χρηστός*· χρήσιμος· καὶ *χρηστῶν* χρησίμων» γράφοντα ἐν τῷ Λεξικῷ.

IX 58, 3 «τεῖχος δ' ὑπερανέστηκε τῆς τάφρου χώματι προσεχόμενον ἔνδοθεν ὑψηλῷ καὶ πλατεῖ».

Ὁ Reiske εὐστόχως εἰκάζων *προσκεχωμένον* ὅμως μικρόν τι ἐσφάλη, ἐπεὶ μεταγράφειν ὤφειλε *προσκεχωσμένον*.

Τοσαῦτα μὲν οὖν καὶ τοιαῦτ', ὦ σοφώτατε Κόντε, εἶχον τό γε νῦν εἶναι παρατηρῆσαι εἰς τὴν Διονυσίου τοῦ Ἁλικαρνασσέως Ῥωμαϊκὴν Ἀρχαιολογίαν. Σὺ δ', ὦ δοκιμώτατε τῶν ἐν Ἑλλάδι κριτικῶν, ὅπως εὐνοϊκῶς τε καὶ εὐγνωμόνως ταῦτα τὰ παρατηρήματά μου δέξει καὶ ὡς ἀκριβέστατ' ἐπικρινεῖς.

Ἔρρωσο.

Ἔγραφον ἐν Utrecht τῆς Ὁλλανδίας φθίνοντος Μαΐου μηνὸς ἔτ. 1892

H. VAN HERWERDEN

Ἰχθύᾳ — ἰχθύν.

Ὁ Καιβέλιος ἀναγνοὺς ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου Τόμ. Α', σελ. 13, 8 «καὶ τέλος *ἰχθύαν* τρίβων ἀπεκάθαιρεν αὐτήν» ἐσημειώσατο «ἰχθύαν nescio quis: ἰχθὺν CE». Ἐν δὲ τῷ Γ' Τόμ. σελ. IV ἔγραψεν «I 6 d ἰχθύᾳ τρίβων Diels». Πρβ καὶ Ἑρουερδῆνα ἐν *Μνημοσ.* 1891, σελ. 200.

Περὶ τοῦ χωρίου τοῦ Ἀθηναίου ἐποιησάμεθα καὶ ἡμεῖς λόγον ἐν τῷ περιοδικῷ συγγράμματι Ἀθηναίῳ 1877, σελ. 430, ἀποκατεστήσαμεν δὲ τὴν αὐτὴν γραφήν, ἣν καὶ ὁ διαπρεπὴς φιλόλογος Δίλσιος. Μεταφέρομεν εἰς τὴν Ἀθηνᾶν τὰ ἐν τῷ Ἀθηναίῳ γεγραμμένα.

Ἀθήν. σελ. 6, γ' «Ὁ αὐτός φησι Πίθυλλον τὸν τένθην καλούμενον οὐ περιγλωττίδα μόνον ὑμενίνην φορεῖν ἀλλὰ καὶ προσελυτροῦν τὴν γλῶτταν πρὸς τὰς ἀπολαύσεις· καὶ τέλος ἰ χ θ ὺ ν τρίβων ἀπεκάθαιρεν αὐτήν».

Ἐπειδὴ ἀδυνατοῦμεν νὰ νοήσωμεν πῶς ἰχθὺν τρίβων ὁ Πίθυλλος ἀπεκάθαιρε τὴν γλῶσσαν, ἀποφαινόμεθα ὅτι ἡ γνησία γραφὴ εἶνε ἰ χ θ ύ ᾳ· «καὶ τέλος ἰ χ θ ύ ᾳ τρίβων (τὴν γλῶτταν) ἀπεκάθαιρεν αὐτήν».

Δηλοῖ δ' ἡ λέξις ἰ χ θ ύ α καὶ Ἰωνικῶς ἰ χ θ ύ η καθόλου μὲν δέρμα ἰχθύος, ὡς ἐν τοῖς τοῦ Ῥούφου παρ' Ὀρειβασίῳ Τόμ. Α', σελ. 273, 8 «πάνυ γὰρ οὕτως ἀπογίνεται μὲν ἡ ἰ χ θ ύ α, ὅ τι δὲ κολλῶδές ἐστιν ἐκμυζᾶται», ἰδίως δὲ τὸ δέρμα τῆς ῥίνης, ὡς ἐν τοῖς Ἱπποκρατείοις Τόμ. Β', σελ. 821 «περιδείρας δὲ τὸν βραχίονα καὶ ἀποψιλώσας τῶν σαρκῶν τὸ ὀστέον ἰ χ θ ύ η ν περίδησον περὶ τοὺς δακτύλους τῆς χειρὸς τοὺς δύο, ὅπως μὴ ἀπολισθάνοιεν». Πρβ. Γαλην. Τόμ. ΙΘ', σελ. 107 «Ἰ χ θ ύ η ν: ῥίνης θαλαττίας δέρμα ξηρόν. Δύναται δὲ καὶ τὸν σιδηροῦν ὄνυχα δηλοῦν, ᾧπερ εἰς τὰς ἐμβρυουλκίας καὶ ἐμβρυοτομίας χρώμεθα διὰ τὴν πρὸς τὰς λεπίδας τῶν ἰχθύων ὁμοιότητα». Πεπηρωμένον πάντως εἶνε τὸ παρ' Ἐρωτιανῷ «Ἰ χ θ ύ η ν: ῥίνημα ἢ πρίσμα», ἀνθ' οὗ γραπτέον ἴσως, ὡς καὶ ἄλλοι εἴκασαν,

«Ἰχθύην: ῥίνης δέρμα» καὶ «Ἰχθύημα: ῥίνημα ἢ πρίσμα» (Πρβ καὶ Ἑρμερίνσιον Ἱπποκρ. Τόμ. Γ', σελ CXXII).

Ὁ Γαληνὸς ἐν μὲν Τόμ. ΙΒ', σελ. 406 λέγει παρατιθέμενος τὰ τοῦ Ἀρχιγένους «τὰς δὲ βαθείας ἀνάτριβε σὺν ὄξει νίτρου βώλῳ ἢ σηπίας ὀστράκῳ ἢ ἰχθύᾳ ἢ συκῆς φύλλοις μέχρις ἀναξασμοῦ», ἐν δὲ Τόμ. ΙΖ', α', σελ. 902 «ἴστε γοῦν ἐμὲ χρώμενον ἐπ' αὐτῶν δέρμασί τε θαλαττίων κητῶν τραχέσι καὶ σηπίας ὀστράκοις καὶ κισήρει».

Σημειωτέον δ' ὅτι ῥίνη ἐκαλεῖτο οὐ μόνον ὁ ἰχθὺς ἀλλὰ καὶ τὸ δέρμα αὐτοῦ, καθὰ διδάσκει ὁ Ἡσύχιος λέγων «Ῥίνη: ἰχθύος δορά». Ἐν τῇ καθ' ἡμᾶς γλώσσῃ ἐκφέρεται ἡ λέξις διὰ τοῦ Α, ῥίνα ἢ ῥῖνα, ὡς παρὰ τοῖς μεταγενεστέροις (Ἴδε Μοῖριν σελ. 339). Ἐν τῇ Ὀρθογραφίᾳ τοῦ Χοιροβοσκοῦ σελ. 255, 6 ἀναγινώσκεται «Ἰστέον ὅτι ἐστὶν ῥινή ὀξύτονον καὶ ῥίνη βαρύτονον· ἀλλὰ τὸ μὲν ὀξύτονον σημαίνει τὸ λεγόμενον ῥινίον, τὸ δὲ βαρύτονον εἶδος ἰχθύος». Πρβ. καὶ Ἀρκάδ. σελ. 111, 24 «ῥίνη ὁ ἰχθύς· τὸ δὲ ὄργανον ὀξύνεται». Ἀλλ' ἡ κατὰ τὴν διάφορον σημασίαν διάφορος αὕτη προσῳδία εἶνε πιθανῶς γραμματικοῦ τινος ἐπινόημα (Πρβ. καὶ Λόγ. Ἑρμ. Τόμ. Ε', σελ. 74). Τὸ ἐργαλεῖον ὀνομάζεται ὑπὸ τῶν νῦν Ἑλλήνων ῥινί (=ῥινίον) καὶ ῥινάρι ἢ ἀρνάρι (=ῥινάριον). Παντὶ δὲ φανερὸν ὑπάρχει ὅτι ὁ ἰχθὺς προσηγορεύθη ῥίνη διὰ τὴν τοῦ δέρματος αὐτοῦ ὁμοιότητα πρὸς τὸ ἐργαλεῖον.

Ἐπανερχόμενοι εἰς τὸ ἐκ τῶν Δειπνοσοφιστῶν χωρίον παρατηροῦμεν ὅτι καθ' ἣν ἡμεῖς ποιούμεθα ἀνάγνωσιν τρέποντες τὸ ἰχθύΝ εἰς τὸ ἰχθύᾼ ἀποβαίνει σαφέστατον καὶ καταληπτότατον. Ἴσως δὲ κριθῇ ὑπό τινος ἀναγκαῖον νὰ προενεχθῇ κατ' ἀπαρέμφατον «—προσελυτροῦν τὴν γλῶτταν πρὸς τὰς ἀπολαύσεις καὶ τέλος ἰχθύᾳ τρίβονΤ' ἀπΟκαθαίρεΙν αὐτήν». Κ. Σ. Κ.

ΚΡΙΤΙΚΑΙ ΠΑΡΑΤΗΡΗΣΕΙΣ ΚΑΙ ΔΙΟΡΘΩΣΕΙΣ

ΕΙΣ ΤΑ ΕΘΝΙΚΑ

ΣΤΕΦΑΝΟΥ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ

« Τοὺς θησαυροὺς τῶν πάλαι σοφῶν ἀνδρῶν, οὓς ἐκεῖνοι κατέλιπον ἐν βιβλίοις γράψαντες, ἀνελίττειν ».

Κατὰ Ξενοφῶντα.

Ἀρχόμενος ἐνταῦθα τῆς σπουδῆς καὶ μελέτης Ἕλληνος γραμματικοῦ καὶ γεωγράφου, οὗ τὸ σύγγραμμα πολλαχῶς μὲν ὑπάρχει τῇ ἐπιστήμῃ ὠφέλιμον, πολλῆς δ' ἔτι τῆς κριτικῆς ἐξετάσεως δεῖται, πρῶτον ὀφείλω καὶ δημοσίᾳ νὰ κηρύξω τὴν εἰλικρινεστάτην εὐγνωμοσύνην ἅμα καὶ εὐχαριστίαν μου ἐπὶ τῇ μέχρι τοῦδε προστασίᾳ, ἧς ἔτυχον παρὰ τῆς γνωστῆς ἤδη τῷ ἡμετέρῳ ἔθνει φιλομούσου καὶ φιλοπόλιδος οἰκογενείας

Ζαννη Στεφανοβικ Σκυλιτση.

Καὶ ζῶν ὁ ἀοίδιμος ἐκεῖνος καὶ πολὺς τοῦ ἔθνους εὐεργέτης Ζαννης περιέθαλψέ με καὶ ὑπερβαλλόντως εἰς τὴν ἐπιστημονικήν μου ἀνάπτυξιν συνεβάλετο, καὶ τούτου εἰς τὸ χρεὼν ἀπιόντος ὁ υἱὸς Παυλος φιλοτίμως πάνυ ἐπὶ τὰ τοῦ ἀειμνήστου πατρὸς ἴχνη βαίνων προθύμως ἀνέλαβε καὶ μετὰ ζήλου ἐπέρανε τὸν ἀγαθὸν τοῦ ἀνδρὸς σκοπόν.

Ἐὰν τὸ ἡμέτερον ἔθνος ἀπὸ τοῦ μακροῦ ἐκείνου πολιτικοῦ ληθάργου μόλις ἀνανῆψαν κατώρθωσεν αἰσίως νὰ χωρῇ ἐν τῇ τῶν γραμμάτων καὶ τοῦ πολιτισμοῦ καθόλου

σταδιοδρομίᾳ ἄλλοις ἑπόμενον ἔθνεσι πολλῷ ἑαυτοῦ ὑπερέχουσιν, οὐδεὶς βεβαίως θὰ ἀρνηθῇ ὅτι ἀναντιρρήτως εἰς τὴν ἐπίδοσιν ταύτην καὶ πρόοδον ἱκανῶς συνετέλεσε καὶ ἡ τῶν ἡμετέρων πλουσίων ὁμογενῶν ἅμιλλα καὶ προθυμία, τίς ποτε καὶ ἀφειδέστερον καὶ ἐπικαιρότερον τῶν ἄλλων δαπανώμενος ἄλλοτε ἄλλως ὠφελιμώτερος ἀποβῇ τῇ κοινῇ πατρίδι.

Τοιούτους δὲ φιλοτίμους ἄνδρας καὶ ζῶντας μὲν ἀεὶ τὸ ἡμέτερον ἔθνος διαφερόντως τιμᾷ καὶ γεραίρει, καὶ ἐξ ἀνθρώπων δὲ γενομένους χρυσοῖς καὶ ἀνεξιτήλοις ἀναγράφει γράμμασιν ἐν τῇ ἑκάστοτε οἰκείᾳ τῆς ἱστορίας σελίδι·

«Λάμπει καὶ φθιμένοις ἀρετῆς φάος, οἳ περὶ πάτρης
πολλὰ πονησάμενοι ξυνὸν ἔθεντ' ὄφελος»·

οὐ μὴν ἀλλὰ καὶ τὸ ἐκείνων παράδειγμα μιμούμενοι ἄλλοι μὲν ἀντιφιλοτιμοῦνται πρὸς τὴν δόξαν τῶν ἔργων καὶ τὸ μεγαλεῖον τῶν πράξεων, ἄλλοι δ' ἄλλως τὴν εἰς τὴν πατρίδα συμβολὴν αὐτῶν παρέχοντες ἀντάξιοι τῆς ἐκείνων φιλοτιμίας ἀναδεικνύονται.

Τοῦτο δὲ καὶ ἡμεῖς ἀπὸ καρδίας ποθοῦντες μετὰ θάρρους εἰσερχόμεθα εἰς τὴν κριτικὴν Ἑλλήνων συγγραφέων ἔρευναν.

Τὰ Ἐθνικὰ Στεφάνου τοῦ Βυζαντίου ἐγνώρισεν ἡμῖν κατὰ πρῶτον ὁ διαπρεπὴς Γερμανὸς Ἑλληνιστὴς Dr. Iwan von Müller κατὰ τὴν ἐν Γερμανίᾳ σπουδὴν ἡμῶν, ὅτε ἡμᾶς συντόνως πάνυ καὶ μετὰ πατρικῆς οὕτως εἰπεῖν φιλοστοργίας διετέλει εἴς τε τὴν κριτικὴν τῶν συγγραφέων ἐξέτασιν ἀσκῶν καὶ πολλαχῶς διὰ τῶν συμβουλῶν αὐτοῦ ὠφελῶν· ἐφ' ᾧ καὶ δημοσίᾳ πλείστας αὐτῷ χάριτας ὁμολογοῦμεν. Τοσαύτη δ' ὑπῆρξεν ἀεὶ καὶ ὑπάρχει ἡ περὶ τῶν ἡμετέρων πρόνοια τοῦ σοφωτάτου ἀνδρός καὶ οὕτως εἰς τὴν ἐπιστημονικὴν αὐτῶν ἀνάπτυξιν συμβάλλεται, ὥστε δικαίως ἡ ἡμετέρα Ἐπιστημονικὴ Ἑταιρεία μετὰ πολλῆς ἔσπευσε τῆς προθυμίας καὶ ἀνεκήρυξεν αὐτὸν **Ἐπίτιμον Ἑταῖρον** ἀποβλέπουσα καὶ εἰς τὴν ἄλλην τοῦ σοφοῦ Γερμανοῦ ἱκανότητα.

Πολλοὶ τῶν λογίων μετὰ προδήλως εἰλικρινοῦς χαρᾶς ἀποδεξάμενοι τὴν πρώτην ἡμῶν διατριβήν, περὶ ἧς ἴδ. Ἀθηνᾶς τόμ. Β' σελ. 342 σημ. IV, γράφοντες πρὸς ἡμᾶς περὶ αὐτῆς οὐ μόνον κρίσιν ἐκφέρουσιν εὐμενεστάτην, ἀλλὰ καὶ πάσῃ προθυμίᾳ παραινοῦσι καὶ παραθαρρύνουσιν ἡμᾶς ἔτι μᾶλλον εἰς τὴν σπουδὴν τῶν Ἐθνικῶν καὶ μελέτην. Πᾶσιν ἡμεῖς τούτοις θερμῶς εὐχαριστοῦμεν καὶ ἰδίᾳ τῷ πρώτῳ ἐπιδόξῳ τοῦ Στεφάνου ἐκδότῃ Karl Boysen, ἀνδρὶ λογιωτάτῳ, ἀσμένως, ὡς αὐτὸς ἡμῖν γράφει, νέας ἡμῶν συμβολὰς εἰς Στέφανον τὸν Βυζάντιον ἀναμένοντι.

Ἑνὸς δὲ γνωστοτάτου φιλολόγου ἀνδρός, οὗ τὴν γνώμην ἡμεῖς περὶ πλείστου ποιούμεθα, ἐπάναγκες ἡγούμεθα νὰ καταχωρίσωμεν ἐνταῦθα τὴν περὶ τῆς ἡμετέρας ἐργασίας ἐξαίρετον αὐτοῦ κρίσιν, τὴν τοῦ August Fick, ἐπιφανεστάτου καθηγητοῦ τοῦ ἐν Breslau Πανεπιστημίου, ἔχουσαν ὡς ἑξῆς:

Breslau
24 Ianuar 1890.

Sehr geehrter Herr Doctor

Besten Dank für die freundliche Uebersendung Ihrer so lehrreichen Abhandlung über das Namenwerk des Stephanos von Byzanz, Ihres Landsmannes. Manche der von Ihnen vorgeschlagenen Verbesserungen sind durchaus einleuchtend. Möge es Ihnen vergönnt sein, Ihren Plan einer neuen Ausgabe der so sehr wichtigen Schrift des gelehrten Byzantiners nach eigenem und Aller Wunsche auszuführen.

Zu aufrichtiger Hochachtung

ergebenst der Ihre
A. Fick.

Θαρροῦντες δ' ὅτι τοιούτους ἔχομεν προστάτας καὶ διδασκάλους καὶ ἐπ' ἀρετὴν συμβούλους μετὰ σπουδῆς καὶ εἰλικρινείας ἐπὶ τὸ ἔργον ἡμῶν χωροῦμεν.

« ⟨**Ἀβασηνοί,** ἔθνος⟩ Ἀραβίας. Οὐράνιος ἐν Ἀραβικῶν τρίτῳ — ὁ τύπος ὀξὺς καὶ ἐπιχώριος τοῖς Ἄραψιν, ὡς Μηδαβηνοί Ὀβοδηνοί Ἀ δ ρ ι η ν ο ί».

Ἀδριηνοί φέρει ἐνταῦθα ὅ τ' Ald. καὶ ὁ Voss. κῶδιξ, ὁ δὲ Rehd. *Ἀδρηινοί*· ἀλλ' ἀντ' αὐτοῦ, κοινὸν οὐδὲν τοῖς περὶ ὧν νῦν ὁ λόγος Ἀραβικοῖς ὀνόμασιν ἔχοντος, ὅλως ἄρα τοῖς συμφραζομένοις ἀπᾴδοντος, ὁ μὲν Holstein προτείνει (Dind. Β' 5) νὰ ἀναγνωσθῇ «Ἀδαρηνοί, aut potius Ἀριηνοί», ἕτερος δὲ φιλόλογος ὁ Berkel (αὐτθ. Γ' 17) ἰσχυρίζεται ὅτι «indubitanter Ἀδαρηνοί» γραπτέον· ἀλλ' οὐδετέραν ὁ ἡμέτερος Mein. γραφὴν ἀποδεχόμενος ἀποφαίνεται ὅτι «requiro Arabicæ gentis nomen, velut Ἀδαννηνοί vel Δαχαρηνοί», ὧν ἐθνικῶν τὸ πρῶτον μετ' ἐνδοιασμοῦ ἀποδέχεται καὶ ὁ ἡμέτερος διδάσκαλος Κόντος· πρβ. Σωκράτ. 59, 8.

Καὶ ἡμῖν δὲν ἀπαρέσκει τὸ *Ἀδαννηνοί*, ἀλλὰ παρατηροῦμεν ὅτι τὸ *Αἰαμηνοί* ἐμφερέστερον εἶνε τῷ παραδεδομένῳ *Ἀδριηνοί* ἢ *Ἀδρηινοί*· ἐὰν δηλαδὴ λάβωμεν ὑπ' ὄψιν ὅτι τὸ μὲν Δ οὐδὲν διαφέρει τοῦ Α, ἴσα δὲ τὸ Ρ δύναται τῷ Ι, παλαιογραφικῶς ἔχομεν τὴν ἰσότητα:

ΑΔΡΙΗΝΟΙ = (ΑΡΔΙΗΝΟΙ) = ΑΙΑΜΗΝΟΙ.

Ὅτι μεταθέσεις γραμμάτων ἐν αὐτῇ τῇ λέξει εὐκολώτατα συμβαίνουσι, καὶ ἐκ τοῦ ἡμετέρου ἐλέγχεται χωρίου («ἈδρΙΗνοί - ἈδρΗΙνοί»), καὶ τὰ ἑπόμενα παραδείγματα κυροῦσιν, οἷον:

Α) «ἈπολλωνΗΙς» (ἐκ τοῦ «ἈπολλωνΕΙΙς») ἀντὶ τοῦ «ἈπολλωνΙΕΙς» 106, 19.

«ἈΣχαλιτῶν» ἀντὶ τοῦ «ΣΑχαλιτῶν» 133 6.

«ΔορυΑΛεύς» ἀντὶ τοῦ «ΔορυΛΑεύς» 86, 17. 666, 12.

«ΚαλΕΠιανούς» ἀντὶ τοῦ «ΚαλΠΕιανούς» 350 3.

«πυθΑΪζειν» ἀντὶ τοῦ «πυθΙΑζειν» 539, 12.

«Ῥαϊνός» ἀντὶ τοῦ «Ῥεανός» 654, 22.

«ΣιθωΙΝη» ἀντὶ τοῦ «ΣιθωΝΙη» 566, 15.

Β) «ἈΒιαΔηνῆς» ἀντὶ τοῦ «ἈΔιαΒηνῆς» 235, 6.

«ἈνΙαΡάκαι» παρὰ Πτολεμαίῳ ἀντὶ τοῦ «ἈναΡΙάκαι»· πρβ. *Ἄραρ*, *Ἄραρα*, *Ἀράρεα*, *Ἀράριον* κλπ.

«ΔεΛθάΝιοι» ἀντὶ τοῦ «ΔεΝθάΛιοι» 225, 8.

«Ἐλίκυσοι» ἀντὶ τοῦ «Ἐλίσυκοι» 267, 15.
«ΚαλλίΧαΜος» ἀντὶ τοῦ «ΚαλλίΜαΧος» 635, 12.
«ΣαΚάΝη» παρὰ Πτολεμαίῳ ἀντὶ τοῦ «ΣαΝάΚη».
«ΤένΒηΔα» ἀντὶ τοῦ «ΤένΔηΒα» 615, 8.
«ΤρΟπΙεύς» ἀντὶ τοῦ «ΤρΙΟπεύς» 636, 14.
«ΤύρΣεις» ἀντὶ τοῦ «ΣύρΤεις» 189, 6.
«ΦάΔνην» ἀντὶ τοῦ «ΔάΦνην» 343, 11.
«ΧαΡαΒηνοί» ἀντὶ τοῦ «ΧαΒαΡηνοί» 676, 9.
Γ) «ΒεΛαΚῖνον» ἀντὶ τοῦ «ΚεΒαΛῖνον» 165, 2.

Πάντως δ' ἐκ μεταθέσεως προῆλθε καὶ τὸ «Ἀβακῖνος» ἐκ τοῦ «Βαιακῖνος» (155, 17), καὶ τὸ «ἈκιΑμοῦ» ἐκ τοῦ «ἈΛκίμου» (πρβ. διατρ. 39, 9), καὶ τὸ «ΖεΒέκη» ἐκ τοῦ «ΒεΖέκη» ἢ μᾶλλον τοῦτο ἐξ ἐκείνου (πρβ. Mein. 294, 21), καὶ τὸ «ΖηΛΙας» ἐκ τοῦ «ΖηΙΛας» (383, 12), καὶ τὸ «ΤριφυλΟΙς» (Τριφυλοίς) ἐκ τοῦ «ΤριφυλΙΑς» (Τριφυλιάς 638, 7) κλπ. κλπ.

Ἀναγνωστέον ἄρα 661, 9 «ΦάΤΝεια» καὶ «ΦαΤΝεῖς» ἀντὶ τοῦ ἐν τοῖς ἀντιγράφοις φερομένου «ΦαΝΤία» καὶ «ΦαΝΤεῖς»· παρατηρητέον δ' ὅτι ἄλλα τινὰ περὶ τοῦ ὀνόματος τῆς πόλεως ἀποδεχόμενος ὁ Mein. ἀποφαίνεται ὅτι «Φάντεια scribendum esse ostendit gentilis forma Φαντεύς. sed Φάντεια quoque corruptum est, quemadmodum litterarum ordo docet, qui Φάστεια vel simile quid postulat»· ἀλλ' οὔτε δυνατὴ ὑπάρχει τοῦ ὑπ' ὄψιν κεφαλαίου πρὸ ἄλλων ὀκτωκαίδεκα μετάθεσις(1), ἥν τις εὐχερῶς εἰκάζει, καὶ τύπον ἕτερον *ΦάστΕΙα* πρὸς τῷ *ΦάστΑΙα* ὁ Ἐθνικολόγος ἀναγράφων εἰς ἓν ἀμφότερα πάντως θὰ συνῆπτε τὰ εἰρημένα κεφάλαια κατὰ τὴν συνήθειαν αὐτοῦ. Εἰς συμπλήρωσιν δὲ τῶν περὶ τῆς Τρωϊκῆς πόλεως λεγομένων προσθετέον ὅτι ἐνταῦθα προφανῶς ἀναφέρεται τὸ ὀλίγον ἔμπροσθεν ἐν τοῖς τοῦ Ἐθνικογράφου 661, 8 ἀπαντῶν «*διὰ τὸν τύπον*», περὶ οὗ πάνυ ὀρθῶς ὁ σοφὸς τοῦ Στεφάνου ἐκδότης ἀποφαίνεται ὅτι «Haec parum apta hoc loco»· Τρωϊκὰ ἐθνικὰ πρβ. *Ἀδραστεύς*, *Ἀλεξανδρεύς*, *Γρυνεύς* (213, 17), *Λαμπωνεύς*, *Τριτειεύς*

(1) Ἡ ἐν ταῖς ἐκδόσεσι φερομένη ἀλφαβητικὴ τῶν κεφαλαίων διάταξις ἔχει νῦν οὕτω: *ΦαΝοτεύς, ΦάΡαθος, ΦαΡαί, ΦαΡάν, ΦάΡβαιθος, ΦάΡβηλος, ΦᾶΡις, ΦαΡκηδών, ΦαΡμακοῦσσαι, ΦαΡράκεια, ΦάΡος, ΦαΡούσιοι, ΦάΡσαλος, ΦαΡύγαι, ΦαΣαηλίς, ΦάΣηλις, ΦαΣηλοῦσσαι, ΦᾶΣις, ΦάΣταια, ΦαΝτία, Φεά.*

κλπ. καὶ ἀπὸ διαφόρων καταλήξεων τῶν πρωτοτύπων *Ἀμαξιτεύς*, *Μερμησσεύς* κλπ. *Σμινθεύς* κλπ. *Πτελεεῖς* κλπ. *Ἰλιεύς*, *Ὑαμιεύς* κλπ. *Ῥοιτειεύς*, *Σιγειεύς* κλπ. Ἐναργῶς νῦν ἐκ τῶν διειλημμένων ἐμφανίζεται ὅτι τὸ ὑπ' ὄψιν κεφάλαιον οὕτω γραπτέον : «Φάτνεια, πόλις Τρωϊκή, κτίσμα Κυμαίων. καὶ Φατνεῖς, ὡς Νεανδρεῖς, τὸ ἐθνικὸν διὰ τὸν τύπον.»· καὶ αὐτόδηλον μὲν εἶνε ὅτι ἡ γραφὴ *ΦάΤνεια* οὐδαμῶς ἀντιπίπτει τῇ ἀκολουθίᾳ τῶν γραμμάτων, ἣ νῦν οὕτω θὰ ἔχῃ :

ΦάΣταια ΦάΤνεια Φεά,

πρόδηλον δ' ὅτι τὸ περὶ Φασταίας κεφάλαιον οὕτω γραπτέον : «Φάσταια, πόλις ἐν Σάκαις. τὸ ἐθνικὸν Φασταῖος καὶ Φασταιεύς.».

Πάντων δ' εὐκολώτατα καὶ συνηθέστατα μετατίθεται τὸ Ρ, οἷον :

«ἈδΡαηνός» ἀντὶ τοῦ «ἈδαΡηνός» 191, 24.
«ΒΡάβας» ἀντὶ τοῦ «ΒάβΡας» 154, 10.
«ΚαΡτερός» ἀντὶ τοῦ «ΚΡατερός» 358, 15.
«ΚεκάΡφου» ἀντὶ τοῦ «ΚεΡκάφου» 351, 16.
«ΚεΡβηνία» ἀντὶ τοῦ ΚεβΡηνία» 371, 3.
«ΚόΡτυτα» ἀντὶ τοῦ «ΚοτύΡτα» 379, 13.
«ΚουΡνοί» ἀντὶ τοῦ «ΚΡουνοί» 233, 1.
«ΤύταΡμος» ἀντὶ τοῦ «ΤύΡταμος» 275, 19.
«ΦΡαγήσιος» ἀντὶ τοῦ ΦαγΡήσιος» 459, 12. 641, 7.

Ὁμοίως ἐκ τοῦ «ΤυΡσηνοί» προῆλθε τὸ «ΤΡισηνοί» (391, 9), ἐκ τοῦ «ΝάκΡασος» τὸ «ΝάΡκασος» κατὰ τὴν τοῦ Holstein διόρθωσιν ἀσφαλῶς φρουρουμένην ὑπὸ τοῦ ἐθνικοῦ ΝΑΚΡΑΣΙΤΑΙ ἢ ΝΑΚΡΑΣΕΙΤΑΙ, ὧν γραφῶν ἐκείνη μὲν ἐπὶ νομισμάτων ἀπαντᾷ, αὕτη δ' ἐν ἐπιγραφαῖς φέρεται· παρατηρητέον δ' ὅτι τὸ παρὰ Πτολεμαίῳ *Νάκρασα* οὐ μόνον τῇ θέσει τοῦ Ρ ἀλλὰ καὶ τῷ τόνῳ συνηγορεῖ τοῦ *Νάκρασος*, ὃ προπαροξυτόνως ἔγραψε προφανῶς ὁ ἡμέτερος ἐκδότης ἀντὶ τοῦ προταθέντος *Νακρασός*.

Ἀλλ' ἐὰν ἐν τοῖς Ἐθνικοῖς τοῦ Στεφάνου τηρηθῇ ἡ μεμαρτυρημένη καὶ ὑγιαίνουσα ἐκφορὰ *Νάκρασος Νακρασεύς*, ἀναγκαίαν κρίνομεν μικρὰν τῶν ἐνταῦθα κεφαλαίων μετάθεσιν, τήνδε :

Ναϊσσός ΝακΟλεια ΝακΟρη ΝάκΡασος

ἀντὶ τῆς νυνὶ φερομένης διατάξεως αὐτῶν

Ναϊσσός ΝάκΡασος ΝακΟλεια ΝακΟρη·

περὶ τῆς ἐν τοῖς ἀντιγράφοις ἐμφανιζομένης ταραχῆς τῆς φυσικῆς τῶν γραμμάτων ἀκολουθίας ἐγράψαμεν ἀλλαχοῦ ἱκανά (πρβ. διατριβ. 23, 27 κέξ.) καὶ ἐκεῖσε ἀρκούμεθα νὰ παραπέμψωμεν.

Συμφανὲς ἄρα καθίσταται νῦν ἐκ τῶν εἰρημένων ὅτι ὁμοία γραμμάτων μετάθεσις ἐγένετο καὶ ἐν τῇ λέξει *Ἄραδον*, ἣν εὐλόγως ὑπώπτευσεν ὁ Mein. πρβ. 100, 1. Τίς δ' ὁ ἀμφιβάλλων ὅτι ἡ ὑγιῶς ἔχουσα ἐκφορὰ καὶ προδήλως πάσης ἀπηλλαγμένη νοθείας εἶνε ἡ «ἌΔαΡον» καὶ οὕτως ἄρα ἡ πόλις ἐκαλεῖτο, ἤγουν **ἡ** *Ἄδαρος* ἢ **τὸ** *Ἄδαρον*;

Ὁμοίως παρατηρητέον ὅτι κατ' εἰσήγησιν τοῦ Holstein (167 a πρβ. ἐκδ. Dindorf τόμ. Β' σελ. 353) ἔγραψεν ὁ Mein. «ΚεΒρανῖται» ἐμοὶ δὲ δοκεῖ ὅτι ἡ τῶν βιβλίων γραφὴ «ΚεΡΔανίται» προῆλθεν ἐκ τοῦ «ΚεΔΡανῖται»· πρβ. *Κεδράμης*, *Κεδρεάτης* καὶ *Κεδριῆται* καὶ *Κεδραῖος* καὶ *Κεδρεατικός*, *Κεδρεᾶτις*, *Κεδρεῖαι* ἢ *Κεδρεαί*, *Κεδρείπολις*, *Κέδρις*, *Κέδριοος* κλπ. κλπ. Ἐὰν ἀληθεύῃ τοῦτο, καὶ τὸ Ρ εὐκόλως ἐν αὐτῇ τῇ λέξει μετατίθεται, ὡς ἄρτι εἴδομεν, τὸ ὑπ' ὄψιν κεφάλαιον μεταθετέον ὑπάρχει· προφανῶς δ' ἀντὶ τῆς ἐνεστώσης τῶν κεφαλαίων γραφῆς καὶ διατάξεως:

Κάψα ΚεΒρανῖται ΚεΒρηρία ΚεΓχρεαί

χρηστέον τῇ ἑπομένῃ:

Κάψα ΚεΒρηρία ΚεΓχρεαί ΚεΔρανῖται.

Ἐκ τῆς μεταθέσεως τῶν γραμμάτων προκύπτει συχνάκις λέξις ἄλλο τι δηλοῦσα, οἷον «ἌΛλος» ἀντὶ τοῦ «ΛΑλος» (Cobet coll. critt. 288, 22), «ἉΛμυρόν» ἀντὶ τοῦ «ΛΑμυρόν» (αὐτοθ. 524, 20), «ΣκιΑΘιος» (ἐθνικὸν τοῦ *Σκίαθος*) ἀντὶ τοῦ «ΣκιΘΑῖος» ἀπὸ τοῦ *Σκίθαι* (Mein. 574, 18), «λίμΝΗ» ἀντὶ τοῦ «λιμΗΝ» (669, 6) καὶ τοῦτο ἀντ' ἐκείνου (679, 8) κλπ. κλπ. Ἀλλὰ τοιαῦταί τινες λέξεις, ὡς ΛΙΜΝΗ-ΛΙΜΗΝ, ΜΟΝΑΔΙΚΟΝ-ΝΟΜΑΔΙΚΟΝ («ΜοΝαδικόν» ἀντὶ τοῦ «ΝοΜαδικόν» ἀπαντᾷ 551, 17) κλπ. δύνανται καὶ ἐκ τῆς παντελοῦς αὐτῶν παλαιογραφικῆς ὁμοιότητος νὰ μεταπίπτωσιν εἰς ἀλλήλας εὐκόλως.

Περὶ δὲ τῆς ἀμοιβαίας συγχύσεως τῶν γραμμάτων Ρ καὶ Ι, ὧν ἀρχόμενοι μνείαν ποιούμεθα, σημειωτέον ὅτι συχνάκις μὲν ἐν τοῖς ἀντιγράφοις τὸ Ι μεταπίπτει εἰς Ρ, οἷον:

« Ἀλινδ Ρεύς» (75, 4) ἀντὶ τοῦ « Ἀλινδ Ιεύς» ὁ ἐθνικὸν εἶνε προ-

φανῶς τοῦ *Ἀλινδία*, ὡς τοῦ *Δηλία Δηλιεύς*, τοῦ *Ναξία Ναξιεύς*, τοῦ *Πρυμνησία Πρυμνησιεύς* κλπ. κλπ. (1).

«Ἀ𝖯γιεύς» (664, 19) ἀντὶ τοῦ «Αἰγιεύς»· τοιοῦτον παράδειγμα παρατίθεται και ὁ ἀοίδιμος Cobet πρβ. Collect. critt. 481, 20.

«Ἄ𝖯σιν» ἀντὶ τοῦ «Αἶσιν», ἤτοι *Αἶσιν*· πρβ. Cobet αὐτθ. 587 4.

«Μανδ𝖯ηνοί» (425, 4) ἀντὶ τοῦ «Μαδἰηνοί»· αὕτη δ' ἡ τῶν κωδίκων γραφὴ «Μανδρηνοί» προδήλως ὑπομιμνήσκει ἡμᾶς τὸ *μάνδρα*.

«Μά𝖯δους» (459, 6) ἀντὶ τοῦ «ΜαΙδούς» κλπ κλπ.

Ὅτι δὲ τὸ Ρ μεταβάλλεται συχνάκις ὑπὸ τῶν ἀντιγραφέων εἰς Ι, παραδείγματα ἔστωσαν τὰ ἑπόμενα:

«Γόργυlα» ἀντὶ τοῦ «ΓόργυΡα» 211, 9.

«ΣυρΙεντόν» ἀντὶ τοῦ «ΣυρΡεντόν» 594, 15. Ἀλλ' ἐν ἄλλῳ τινὶ ἀντιγράφῳ «ΣυρΗεντόν» αὐτόθι ἀναγινώσκεται· μετέπεσεν ἄρα τὸ Ρ εἰς Η πάντως διὰ τὸ τούτου (τοῦ Η) συγγενὲς πρὸς τὸ Ι. Ἔχομεν ἄρα παλαιογραφικῶς τὴν ἰσότητα Ρ = Ι = Η. Διὰ τὸν αὐτὸν λόγον ἀλλαχοῦ κεῖται «ΦαγΗσιος» (πρβ. 641, 7) καὶ «ΣφαγΗσιος» τοῦ Σ ἐν αὐτῷ προσκολληθέντος ἐκ τῆς ἡγουμένης αὐτόθι λέξεως (ὡς *Φαγρήσιος*)· πρβ. 32, 18 «ὡς Σαλωρίτης» ἀντὶ τοῦ «ὡς Ἁλωρίτης».

Ἴσως ἄρα οὐχὶ ἀτόπως ὁ Cluver ἐν τῷ «ἘχετΙα» (292, 5) λανθάνουσαν ὁρᾷ τὴν ἐκφορὰν «ἘχέτΡα».

Πολλῷ δ' εὐκολώτερον ἐκπίπτει βεβαίως τὸ Ρ χάριν τοῦ Ι, ὡς:

«ἈφΙκανός» ἀντὶ τοῦ «ἈφΡΙκανός» 17, 8.

(1) Τοὐναντίον ὁ Rehd. κῶδιξ ἀντὶ τοῦ *Βαλβουρεύς* φέρει (157, 1) *ΒαλβουρΙεύς* ἀπὸ τοπικοῦ *Βαλβουρία*, ὡς *Ῥοδιεύς* ἀπὸ τοῦ *Ῥοδία* κλπ. Ἔχει δ' ὁ Ald. (162, 2) *ΒελιτρΙανός* ἐκ τοῦ *Βελιτρία*, ὡς *Βαντιανοί* ἐκ τοῦ *Βαντία*, *Πραιτετιανός* καὶ *Πραιτετιανή* ἐκ τοῦ *Πραιτετία*, *Ῥεμουριανός* ἐκ τοῦ *Ῥεμουρία*, *Ταυρασιανός* ἐκ τοῦ *Ταυρασία*, *Ὠστιανός* ἐκ τοῦ *Ὠστία* κλπ. *Ἀτριανός* ἐκ τοῦ *Ἀτρία*, *Βεσκιανός* ἐκ τοῦ *Βεσκία*, *Καλησιανός* ἐκ τοῦ *Καλησία*, *Πανδοσιανός* ἐκ τοῦ *Πανδοσία* καὶ λοιπὰ Ἰταλικὰ ἐθνικά. Λήγουσι δὲ τὰ ἀπὸ πρωτοτύπων εἰς *-ια* παραγόμενα τοιαῦτα ἐθνικὰ οὐ μόνον εἰς *-ιανός*, ἀλλὰ καὶ εἰς *-ῖνος*, οἷον *Ἀρικῖνος* ἐκ τοῦ *Ἀρικία*, *Ἀρρεντῖνος* ἐκ τοῦ *Ἀρρεντία*, *Καμαρῖνοι* ἐκ τοῦ *Καμαρία*, *Κρουστομερῖνος* ἐκ τοῦ *Κρουστομερία*, *Λουκερῖνος* ἐκ τοῦ *Λουκερία*, *Μεδυλλῖνος* ἐκ τοῦ *Μεδυλλία*, *Νουκερῖνοι* ἐκ τοῦ *Νουκερία* καὶ *Νουκρῖνος* ἐκ τοῦ *Νουκρία*, *Πανδοσῖνος* ἐκ τοῦ *Πανδοσία*, *Περ(ο)υσῖνος* ἐκ τοῦ *Περ(ο)υσία*, *Πετηλῖνος* ἐκ τοῦ *Πετηλία*, *Πικεντῖνοι* καὶ *Πικεντίνη* ἐκ τοῦ *Πικεντία*, *Σητῖνοι* ἐκ τοῦ *Σητία*, *Σιγνῖνος* ἐκ τοῦ *Σιγνία*, *Φαβεντῖνος* ἐκ τοῦ *Φαβεντία* κλπ. κλπ.

«Σιγlεύς» ἀντὶ τοῦ «ΣιγΡlεύς» 18, 4. κατὰ τὴν εὔστοχον τοῦ Mein. εἰκασίαν.

Ἀλλὰ καὶ τοῦτο χάριν ἐκείνου, οἷον:

«ἈτΡεύς» ἀντὶ τοῦ «ἈτΡlεύς» 143, 20.

«ἌωΡος» ἀντὶ τοῦ «ἈώΡlος» 154, 5.

«ΔιακΡεῖς» ἀντὶ τοῦ «ΔιακΡlεῖς» 229, 15.

«ΠΡεσία» ἀντὶ τοῦ «ΠlΡεσία» ἤτοι «ΠΕlΡεσία» 138, 18.

Ὅπως δ' ἐκπίπτει τὸ Ρ, οὕτως ἄλλοτε προστίθεται ἀπροσδιονύσως, οἷον «μάκΡαρς» ἀντὶ τοῦ «μάκαρς» πρβ. 551, 3. Ἀλλαχοῦ δὲ τὸ προστεθὲν Ρ μετέπεσεν εἰς l, ὃ ὕστερον μετετέθη· πρβ. 543, 8 κέξ. ἔνθα τἀντίγραφα νῦν μὲν «ῬάπτΡα» νῦν δὲ «Ῥάπταl» φέρουσιν ἀντὶ τοῦ «Ῥάπτα», οὗ αἱ διάφοροι γραφαὶ προῆλθον ἐκ τῆς ἑξῆς ἀκολουθίας:

ῬάπτΡα - Ῥάπτlα - Ῥάπταl.

Ἀλλὰ πρὸς τῇ ἐναργείᾳ τῶν εἰρημένων, ἐξ ὧν πᾶς τις ἤδη νοεῖ τὸ εὐχερὲς τῆς τοῦ *Αἰαμηνοί* μεταπτώσεως εἰς τὸ *Ἀδριηνοί* καὶ τὸ ἐκ τούτου *Ἀδρηινοί*, ὑπερμαχοῦσιν ἔτι τοῦ *Αἰαμηνοί* καὶ ἐθνικὰ τῆς Ναβαταίων χώρας, οἷον *Μηδαβηνοί* πρβ. 449, 6 «ὁ πολίτης Μηδαβηνός, ὡς *Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ*»· *Ὀβοδηνοί* πρβ. 482, 15 «Ὄβοδα, χωρίον Ναβαταίων. *Οὐράνιος Ἀραβικῶν τετάρτῳ* — τὸ ἐθνικὸν Ὀβοδηνός ὡς Δαχαρηνός», ὁπόθεν πιθανῶς ὁ ἡμέτερος Mein. παρέλαβε τὸ ἑαυτοῦ *Δαχαρηνοί*· περὶ δὲ τοῦ *Αἰαμηνοί* ὁ Ἐθνικογράφος παρατηρεῖ 37, 5 τάδε: «*Αἰαμηνή*, Ναβαταίων χώρα, ὡς *Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ*. τὸ ἐθνικὸν *Αἰαμηνός*»· γράφων ἄρα ὁ πολὺς Ἐθνικολόγος τὰ ἐν τοῖς ἄνω περὶ *Ἀβασηνῶν* ἐκτεθειμένα καὶ ἰσχυριζόμενος ὅτι τὸ *Ἀβασηνοί* ὀξύνεται καὶ κατάληξιν φέρει τοῖς Ἄραψιν ἐπιχωριάζουσαν ὑπ' ὄψιν εἶχε καὶ τὸ σύγγραμμα τοῦ Οὐρανίου τὸ *Ἀραβικά* ἐπιγραφόμενον, ἐξ οὗ πάντως ἠρύσατο τὰ κατειλεγμένα παραδείγματα. Καὶ τοῦτο ἄρα νέον τεκμήριον ὅτι ἐν τῷ ὑπ' ὄψιν κεφαλαίῳ (5, 9) μᾶλλον *Αἰαμηνοί* γραπτέον ἢ ὡς ἄλλοι εἰκάζουσιν *Ἀδαρηνοί*.

Ἄβοτις	Γράφε
«ὁ πολίτης κατὰ μὲν τὸ ἐπιχώριον Ἀβοτίτης, ὡς Ναύ-	«ὁ πολίτης κατὰ μὲν τὸ ἐπιχώριον Ἀβοτίτης, ὡς Ναύ-

κρατις Ναυκρατίτης, κατὰ δὲ Ἑκαταῖον Ἀβοτιεύς, ὡς Μάκρις Μάκριος Μακριεύς, Χάλκις Χάλκιος Χαλκιεύς, Ἄβοτις Ἀβότιος Ἀβοτιεύς.»

κρατις Ναυκρατίτης, κατὰ δὲ Ἑκαταῖον Ἀβοτιεύς. ὡς ΓΑΡ Μάκρις Μάκριος Μακριεύς, Χάλκις Χάλκιος Χαλκιεύς, ΟΥΤΩΣ Ἄβοτις Ἀβότιος Ἀβοτιεύς.»

Πρβ. 8, 5 «ὡς **γὰρ** ἀπὸ τοῦ ναῦται ναυτέων, **οὕτως** Ἀβοριγίναι Ἀβοριγινέων.»· 9, 11 «ὡς **γὰρ** Ἄθμονον Ἀθμονεύς καὶ Γάργαρον Γαργαρεύς καὶ Σούνιον Σουνιεύς καὶ Σιγειεύς καὶ Ἰλιεύς καὶ Λευκωνιεύς καὶ Παντικαπαιεύς καὶ Δουλιχιεύς, **οὕτως** Ἀβροτονεύς.»· 18, 12 «ὡς **γὰρ** Κυνῶν πόλις Κυνοπολίτης, Λεόντων πόλις Λεοντοπολίτης, Λύκων πόλις Λυκοπολίτης, Λάτων πόλις Λατοπολίτης, **οὕτως** Ἀγκυρῶν ⟨πόλις⟩ Ἀγκυροπολίτης.»· 416, 17 «ὡς **γὰρ** ἀπὸ τοῦ Μάραθος Μαραθήσιος, **οὕτω** καὶ τοῦτο.»· 612, 1 «ὡς **γὰρ** Καππάδοκος Καππαδόκης, **οὕτω** Τεκτόσαγος Τεκτοσάγης.»· 671, 10 «ὡς **γὰρ** Ὑρία Ὑριεύς, Ὑσία Ὑσιεύς, **οὕτως** φρατρία φρατριεύς.»· 696, 4 «ὡς **γὰρ** τοῦ καλύψω ἡ Καλυψώ, **οὕτω** καὶ τοῦ χορτάσω Χορτασώ.» κλπ. κλπ.

Γραπτέον ἄρα καὶ συμπληρωτέον καὶ τὸ ἑπόμενον χωρίον 13, 3 οὕτω: «λέγεται δὲ καὶ Ἀγάμμη. ὡς ΓΑΡ ΤΟ πρέσβεια πρέσβη καὶ τὸ βασίλεια κατὰ συναλοιφὴν βασίλη, οὕτω ΚΑΙ ΤΟ Ἀγάμμεια Ἀγάμμη.» καὶ τόδε 36, 19 οὕτω: «ἔοικε δὲ τοὐναντίον ἐξ αὐτῆς ὁ Αἰήτης εἶναι. ὡς ΓΑΡ Ἀσία Ἀσιάτης, οὕτως Αἶα Αἰάτης καὶ Αἰήτης.» καὶ τὸ ἑξῆς 704, 22 οὕτω: «ὁ πολίτης ὤφειλεν εἶναι Ψωφίτης, τῷ τύπῳ τῶν εἰς -ις ληγόντων· ἀλλὰ γέγονεν ἀπὸ τῆς γενικῆς· ὡς ΓΑΡ τῆς Ἀρκάδος Ἀρκάδιος καὶ τῆς Αὐλίδος Αὐλίδιος, οὕτω ΚΑΙ ΤΗΣ Ψωφῖδος Ψωφίδιος.». Πρβ. δ' εἴ σοι δοκεῖ καὶ 300, 14. 365, 1. 488, 4 κλπ.

«**Ἀκραιφία,** πόλις Βοιωτίας — τὸ ἐθνικὸν Ἀκραιφιαῖος καὶ Ἀκραίφιος (οὕτω γὰρ Ἀπόλλων τιμᾶται) καὶ ⟨Ἀκραιφιεύς καὶ⟩ Ἀκραιφιάς, ὡς Σουνιεύς Σουνιάς».

Ὁ ἡμέτερος ἐκδότης παρατηρεῖ ἐνταῦθα ὅτι «Ἀκραιφιεύς καὶ

add. M. huius gentilis exemplum habemus apud Bœckh. Inscr. 1587»· ἀλλὰ τὸ *Ἀκραιφιεύς* ἀλλαχοῦ λανθάνει, προφανῶς ὀλίγον ἀνωτέρω, ἔνθα ἀναγινώσκομεν «ἈκραιφιΑΙΟϹ», ἤτοι «Ἀ-κραιφιЄΩϹ». Ἔχει δὲ τὸ *Ἀκραιφιεύς* πρὸς τὸ *Ἀκραιφία*, ὡς τὸ *Ὑσιεύς* πρὸς τὸ *Ὑσία*, τὸ *Χορσιεύς* πρὸς τὸ *Χορσία* καὶ ἄλλα Βοιωτικά. Ἐκ τοῦ «ἈκραιφιЄΩϹ» ἄρα προῆλθε τὸ «ἈκραιφιΑΙΟϹ», κατὰ παρόρασιν δ' ἢ συνέμπτωσιν ἢ ὁπωσδήποτε ἄλλως ἐξέπεσεν ἡ εὐθεῖα *Ἀκραιφιεύς*. Γραπτέον ἄρα τὸ ὑπ' ὄψιν χωρίον οὕτω:

«τὸ ἐθνικὸν Ἀκραιφιεύς Ἀκραιφιέως. καὶ Ἀκραίφιος, οὕτω γὰρ Ἀπόλλων τιμᾶται. καὶ Ἀκραιφιάς, ὡς Σουνιεύς Σουνιάς».

Ἀλεξάνδρειαι	**Γράφε**
««ταραχθεὶς οὖν Ἀλέξανδρος, οἱ μάντεις θαρρεῖν ἔλεγον· πάντων γὰρ τὴν πόλιν τροφὸν γενήσεσθαι». ταῦτα καὶ Ἀρριανός.»	««ταραχθέντι οὖν Ἀλεξάνδρῳ οἱ μάντεις θαρρεῖν ἔλεγον· πάντων γὰρ τὴν πόλιν τροφὸν γενήσεσθαι». ταὐτὰ καὶ Ἀρριανός.»

Ἀντὶ τῆς ἀτόπως ἐν τοῖς κώδιξι κειμένης εὐθείας δύναται πλὴν τῆς δοτικῆς νὰ τεθῇ ἐνταῦθα καὶ γενικὴ πτῶσις, νὰ γραφῇ δηλαδὴ τὸ χωρίον οὕτω: «*ταραχθέντος* οὖν *Ἀλεξάνδρου* οἱ μάντεις θαρρεῖν ἔλεγον».

Περὶ δὲ τῆς ἑτέρας μεταβολῆς παρατηρητέον ὅτι συχνότατα τὸ *ταὐτά* μεταπίπτει εἰς τὸ *ταυτα* ἢ *ταῦτά* ὡς τὸ «*ταῦτά φησιν*», ἐπειδὴ οὐδὲν ἀλλήλων διαφέρουσιν αἱ περὶ ὧν ὁ λόγος λέξεις καὶ δὴ καὶ ὅταν κεφαλαίοις ἀναγράφωνται γράμμασιν, οἷον ΤΑΥΤΑ-ΤΑΥΤΑ. Πρβ. ΑΛΛΑ = ἀλλά - ἀλλ' ἅ - ἄλλα. ΑΡΑ = ἄρα - ἀρά. ΕΦΑ = ἐφ' ἅ - ἔφα. ΘЄΩΝ = θεῶν - θέων. ΚΑΛΑ = καλά - κᾶλα. ΚΑΛΗΝ = καλήν - κάλην. ΛЄΧΟΥϹ = λεχοῦς - λέχους. ΝΥΝ = νῦν - νυν. ΟΥϹ = οὗς - οὖς. ΟΥΤΟΙ = οὗτοι - οὔ τοι. ΠΑΛΑΙ = πάλαι - παλαί' (= παλαιά). ΣΤΡΑΤΙΑ = στρατιά - Στρατία. ΦЄΡЄΤΩ = φερέτω - φέρετ' ὦ. ΧΑΙΡΩ = χαίρω - χαίρ' ὦ, κλπ. κλπ.

Ἡ μετάπτωσις ἄρα τοῦ κεκραμένου εἰς τὴν δεικτικὴν ἀντωνυμίαν εἶνε νῦν προφανὴς καὶ οὐ δυσξύνετος τῷ ὑπ' ὄψιν ἔχοντι καὶ ὅτι κατὰ τὸν παρ' αὐτοῖς ἐπικρατοῦντα νόμον οἱ βιβλιογράφοι τὰ ὁπωσδήποτε

ἄγνωστα μεταβάλλουσιν εἰς γνωστά. Ἀλλὰ τῇ ἡμετέρᾳ ἐνταῦθα διορθώσει *ταὐτά* ἀντὶ τοῦ *ταῦτα* συνηγοροῦσιν ἐπαρκῶς καὶ τὰ ἑπόμενα τοῦ Ἐθνικολόγου χωρία: 7, 21 «*τὰ αὐτὰ* καὶ Χάραξ.» 30, 14 «ἐθνικὰ *τὰ αὐτά*.» 131, 20 «*τὰ αὐτὰ* καὶ Νικόλαος ἐν τετάρτῃ ἱστοριῶν.» 443, 5 *τὰ αὐτὰ* πράγματα τῇ εἰρημένῃ (1) προσάπτων.» 602, 22 «*τὰ αὐτὰ* δὲ καὶ Ἀρτεμίδωρος ἐνάτῳ γεωγραφουμένων».

Ὅμοια τῷ νῦν διορθουμένῳ εἶνε καὶ τὰ ἑξῆς δύο χωρία: 215, 13 «*ταὐτὰ* καὶ Ἀρτεμίδωρός φησιν.» καὶ 567, 9 «καὶ Μένιππος δὲ *ταὐτά* φησιν.» περὶ ὧν ἴδ. διατριβ. σελ. 41, 31 καὶ 86, 12.

Λέγει δ' ὁ Ἐθνικογράφος οὐ μόνον πληθυντικῶς *τὰ αὐτὰ* ἢ κατὰ κρᾶσιν *ταὐτά* ὡς ἐν τοῖς ἡγουμένοις ἐδείχθη, ἀλλὰ καὶ ἑνικῶς, ὅπως διδάσκουσιν ἡμᾶς τὰ ἑπόμενα χωρία, οἷον 28, 13 «*τὸ αὐτὸ* (2) δέ ἐστι χωρίον καὶ ἐθνικόν»· 255, 20 «καὶ ἐν θ' γεωγραφουμένων (Ἀρτεμίδωρος) *τὸ αὐτό*»· 282, 7 «*τὸ αὐτὸ* (θηλυκὸν Ἐρυσιχίς) καὶ ἐπὶ τῆς χώρας»· 325, 9 «*τὸ αὐτὸ* καὶ Ἅβρων ἐν παρωνύμοις φησί»· 482, 6 «καὶ ἐκ τόπου *τὸ αὐτό* (Ὄαθεν)» κλπ.

Ἐκ τούτων δὲ ἡμεῖς ὁρμώμενοι ἐν τῇ διατριβῇ σελ. 27, 13 ἐκ τοῦ κεκραμένου *ταὐτόN* ἀποβάλλομεν τὸ τελικὸν Ν γράφοντες *ταὐτO*. Σημειωτέον δ' ὅτι *ταὐτO* μέν, ἤτοι ἄνευ τοῦ Ν, ἀπαντᾷ καὶ ἐν τῷ ἑπο-

(1) Ἡ αὐτὴ λέξις ἀπαντᾷ καὶ ἀλλαχοῦ, οἷον 344, 9 «ὡς Στράβων ἐν τῇ *εἰρημένῃ*». 597, 3 «φησὶ γὰρ Στράβων ἐν τῇ *εἰρημένῃ*». 661, 22 «ὡς Ἀλέξανδρος ἐν τῇ *εἰρημένῃ*». Λέγεται καὶ *προειρημένῃ*· πρβ. 154, 2 «ἔοικε δ' ἡ αὐτὴ εἶναι τῇ *προειρημένῃ*».

